Τὰ δαμάσκηνα ψυχρά ἐστι καὶ ὑγρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν. ὠφελεῖ δὲ τοὺς θερμὴν ἔχοντας τὴν κοιλίαν καὶ ξηράν, προτρέπει δὲ τὴν γαστέρα διὰ τὴν ἐν αὐτοῖς ὑγρότητα καὶ γλισχρότητα, καὶ μάλιστα τὰ μελάντερα[1]. ἔστι δὲ καὶ κακοστόμαχα. ξηρανθέντα δὲ ἧττον βλάπτει[2], ἀνορεξίαν δὲ ἐμποιεῖ καὶ κεφαλαλγίαν καὶ μάλιστα τοῖς φλεγματικοῖς καὶ οὐ πάνυ τι τρόφιμά ἐστι. τὰ δὲ λευκὰ δαμάσκηνα δύσπεπτα καὶ τῆς γαστρὸς ἧττον προτρεπτικά. τὰ δὲ ὠχρὰ καὶ μεγάλα παχὺν ἀπογεννᾷ χυμὸν καὶ δυσπεπτότερα τῶν ἄλλων ἐστί. δεῖ[3] δὲ ταῦτα πρὸ τροφῆς τῆς λοιπῆς ἐσθίειν. τὰ δὲ αὐστηρὰ καὶ στυφώδη καὶ μὴ πέπειρα[4] τὴν γαστέρα ἐπέχει. ὁ δὲ τῶν δαμασκήνων ζωμὸς πινόμενος λυσιτελεῖ πρὸς τοὺς[5] διακαεῖς πυρετοὺς καὶ φλεγμονάς, καὶ πρὸς τὰ ἐν τοῖς οὔλοις ἐξανθήματα τῷ στόματι[6] κατεχόμενος καὶ πρὸς δυσκρασίαν θερμὴν καὶ γαστρὸς ἐποχήν. ὁ[7] δὲ τοῦ δένδρου ὀπὸς λεπτομερής ἐστι καὶ τμητικὴν ἔχει δύναμιν· καὶ διὰ τοῦτο φασίν, ὡς σὺν οἴνῳ λαμβανόμενος θρύπτει τοὺς λίθους, ὠφελεῖ τε πνεύμονα καὶ θώρακα καὶ βλάπτει τὸν σπλῆνα. κρείττων δέ ἐστιν ὀπὸς ὁ ἐκ δένδρου παλαιοῦ.

1) μελανώτερα I 2) βλαπτικὰ γίνονται B 3) ἐστὶ τροφῆς. cett. om B δεῖ δ. τ. πρ. τῆς τῶν ἄλλων ἐσθ. τροφῆς K 4) πέπυρα B 5) τὰς διώξεις τῶν πυρετῶν καὶ φλεγμάτων B M πρὸς τὰς ὀξεῖς τοῦ πυρετοῦ φλεγμονὰς C πρὸς τὰς ὀξυπυρέτους φλεγμονὰς H 6) τὸ στόμα κατεχόμενα B ὅτι τῶν δαμασκήνων τὸ ἀπόταμα λυσιτλ τοὺς διακαεῖς πυρατοὺς καὶ πρὸς φλεγμονὰς οὐλ ἀναγκαῖον in margine H 7) ὁ δὲ usque ad fin. capp. margini adscript. C

Περὶ δαύκων[1].

Οἱ δαῦκοι θερμοί εἰσι κατὰ τὴν δευτέραν ἀπόστασιν, ὑγροὶ δὲ κατὰ τὴν πρώτην. εἰσὶ δὲ τῶν γογγυλίων[2] ὀλιγοτροφώτεροι, διουρητικοί τε καὶ ἀφροδισιαστικοί, φυσώδεις τε καὶ δύσπεπτοι καὶ μάλιστα ὠμοὶ ἐσθιόμενοι. προτρέπουσί[3] τε τὴν γαστέρα καὶ καταμηνίων ἀγωγοί εἰσιν, αἵματός τε οὐ πάνυ χρηστοῦ γεννητικοί, ὀρρώδη δὲ ποιοῦσι τὴν γονὴν καὶ θερμαίνουσι τοὺς νεφρούς. οἱ δὲ ἐρυθροὶ τῶν ὤχρων κρείττονες. δι' ἣν ἔχουσι θερμότητα καὶ μετρίαν δριμύτητα καὶ τοὺς παχεῖς λεπτύνουσι χυμούς, καίτοι γε παχυμερεῖς ὄντες. τὸ δὲ τούτων σπέρμα ἐπὶ πλέον ἐστὶ διουρητικὸν καὶ καταμηνίων ἀγωγὸν σὺν[4] μέλιτι λαμβανόμενον. ὠφελεῖ δέ, ὥς τινες ἐδόξασαν, ἰδιότητί[5] τινι πρὸς σκελῶν[6] ἀλγήματα καὶ βλάπτει τὴν κύστιν. σκευάζεται δὲ διὰ τούτων καὶ μέλιτος δαυκόμελι, ὥσπερ διὰ ῥόδων ῥοδόμελι, καὶ ἐμβάλλεται αὐτῷ δριμέα ἀρτύματα, καὶ θερμότατον γίνεται καὶ εὔπεπτον[7] καὶ πρὸς τὴν τοῦ ἥπατος ψυχρότητα λυσιτελὲς καὶ πνευμάτων διαφορητικὸν καὶ γονῆς προσθετικόν.

Ἀρχὴ τοῦ ε.

Περὶ ἐλάφων.

Τὰ[8] τῶν ἐλάφων κρέατα[9] κακόχυμά ἐστι καὶ δύσπεπτα καὶ μελαίνης χολῆς γεννητικά. δεῖ δὲ παραθηρεῖσθαι τὰς θηρευομένας κατὰ τὸν τοῦ

1) δαυκῶν B δαυκίοι K τὰ δαυκία I E H 2) γογγυλίδων K 3) καὶ γαστρὸς ὑπάρχει προτρεπτικὰ καὶ καταμηνίων ἀγωγά, αἵματος . . . I E cetera om E 4) σὺν μ. λ. om B M 5) ἰ. τ. om B 6) κεφάλων B M 7) ἄπεπτον C M 8) τὰ τῶν — καὶ χρηστέον om M 9) κρέα BK

θέρους[1] καιρόν, ἐπεὶ πολλάκις τηνικαῦτα ὄφεσι καὶ ἐχίδναις τρεφόμεναι, διψώδεις γίνονται. φυσικῶς δὲ γινώσκουσιν, ὡς εἴγε[2] πίνωσιν ὕδωρ πρὸς τῆς τούτων πέψεως θνήσκουσι. καὶ διὰ τοῦτο τῆς δίψης ἀνέχονται καὶ ταύτῃ ὑπερεκκαίονται. αἵ γοῦν ἐν ἐκείνῳ τῷ καιρῷ ἀναιρούμεναι δηλητηριώδεις εἰσὶ καὶ πάνυ βλαπτικαί, καὶ διὰ τοῦτο παραφυλακτέον τὴν ἐκ τούτων τροφὴν τῷ θέρει καὶ χρηστέον τῷ χειμῶνι. κατὰ γὰρ τὸν τοιοῦτον[3] καιρὸν εὐχερῶς πέπτονται διὰ τὴν ἔνδοθεν[4] θερμότητα. μὴ καλῶς γὰρ πεφθέντα τὰ ἐλάφεια κρέατα παχὺν ἀπογεννῶσι χυμόν, καὶ ἐμφράξεις τῷ τε ἥπατι καὶ τῷ σπληνὶ ἐμποιοῦσι[5]. λέγεται δὲ ὡς συνεχῶς καὶ ἀμέτρως ἐσθιόμενα τρομώδες καὶ ἀκατάστατον τὸ σῶμα ἐργάζονται. ὁ δὲ μυελὸς καὶ τὸ λίπος τὰ σκληρὰ τῶν καρκινωμάτων μαλάσσει ἐπιτιθέμενος. τὸ δὲ κέρας ψυχρόν ἐστι καὶ ξηρόν. θυμιῶσι δέ τινες τούτῳ ἐν[6] τοῖς οἰκίαις πρὸς ὄφεων ἀποδίωξιν, καὶ χρῶνται πρὸς τὰς στραγγουρίας καὶ ἐμφράξεις καὶ ἐκβολὴν τῶν ἐν τῇ γαστρὶ ἑλμίνθων. βλαπτικὸν δέ ἐστι τοῦ πνεύμονος. φασὶ δὲ ὡς τῇ δυστοκούσῃ ἐπαιωρούμενον ὀνίνησι. τὸ δὲ ἐλάφειον αἷμα ξηρανθὲν καὶ τριβὲν πρὸς δήγματα ἰοβόλων[7] λυσιτελεῖ μεταλαμβανόμενον. τὰ δὲ αἰδοῖα λεαινόμενα ἢ ῥινούμενα[8] καὶ σὺν οἴνῳ πινόμενα τοῖς[9] ὑπὸ ἐχίδνης δηχθεῖσι βοηθεῖ.

Περὶ ἐρίφων.

Τὰ τῶν ἐρίφων κρέα εὔπεπτά ἐστι καὶ σύμμετρα. ἀπογεννᾷ δὲ αἷμα λεπτὸν καὶ ὑγρόν. ὠφελεῖ δὲ

1) ἔαρος C 2) εἴπερ I 3) χειμερινὸν B C 4) ἔνδον B 5) om B 6) τὰς οἰκίας I K 7) ἰ. θηρίων I M 8) ἢ ῥ. I om C ἢ ῥινιζόμενα B C 9) τοὺς ὑ. ἐ. δηχθέντας ὠφελεῖ B C

τὰς θερμὰς καὶ ξηρὰς κράσεις. κρείττονες δὲ καὶ εὐχυμότεροι οἱ μήτε πάνυ νεαροὶ μήτε μείζονες. οἱ γὰρ τοὺς ἓξ μῆνας ὑπερβαίνοντες οὔτε κυρίως ἔριφοι ἂν κληθεῖεν[1] ἀλλ' αἶγες. οἵ τε πυρροὶ καὶ γλαυκοὶ τῶν ἄλλων βελτίονες. βλάπτουσι δὲ πρὸς τὰς κωλικὰς διαθέσεις. φασὶ δὲ ὡς ὁ πνεύμων αὐτῶν ἐσθιόμενος μέθης ἀποτρεπτικὸς τῇ ἡμέρᾳ ἐκείνῃ γίνεται.

Περὶ ἐρεβίνθων.

Οἱ ἐρέβινθοι θερμοί εἰσι καὶ ὑγροὶ κατὰ τὴν πρώτην ἀπόστασιν, δύσπεπτοί τε καὶ περιττωματικοὶ καὶ ἀφροδισιαστικοὶ καὶ τῶν κυάμων τροφιμώτεροι, ἀποφρακτικοί[2] τε καὶ καταμηνίων ἀγωγοί. μετέχουσι δὲ ἁλυκώδους[3] ὁμοῦ καὶ γλυκείας ποιότητος. καὶ διὰ μὲν τῆς ἁλυκώδους προτρέπουσι τὴν γαστέρα, διὰ δὲ τῆς γλυκείας διουρητικοὶ πεφύκασι. φυσώδεις τέ εἰσι καὶ γάλακτος γεννητικοί, καὶ[4] ῥυπτικὴν ἔχουσι δύναμιν. οἱ δὲ μέλανες φαρμάκου τόπον[5] ἔχουσι διὰ τὴν ἐνέργειαν. διουρητικώτατοι γάρ εἰσι καὶ τῶν ἐν τοῖς νεφροῖς καὶ τῇ κύστει λίθων θρυπτικοί, οὐδὲν δὲ τῶν ὀσπρίων δύναται τοὺς λίθους θρύπτειν, ὡς οἱ ἐρέβινθοι, καὶ τούτων μάλιστα οἱ τὴν χροιὰν μέλανες καὶ τῷ μεγέθει μικροί, καὶ μᾶλλον ὁ τούτων ζωμός, ὥσπερ οὐδ' ἕτερόν ἐστιν εὑρεῖν ἐν τοῖς ὀσπρίοις βλάπτον πρὸς[6] τὰς ἐν τῇ κύστει πληγὰς κατὰ τῶν ἐρεβίνθων ζωμόν. οἱ δὲ ἐρυθροὶ τῶν λευκῶν θερμότεροι καὶ παχυμερέστεροι. πάντες δέ εἰσι διουρητικοί, καὶ βραχέντες ἐν ὕδατι ἐπὶ μιᾷ

1) ῥηθεῖεν K 2) ἀποφρ. — ποιότητος om E
3) ἁλικώδους B M 4) καὶ — δύναμιν om B M 5) τάξιν K 6) om I

νυκτὶ καὶ προσλαμβανόμενοι τὰς ἕλμινθας ἐκβάλλουσι. δεῖ δὲ τὸν χρώμενον ἐπινηστεῦσαι τῇ τούτων χρήσει ὥρας ἕξ· ὡς κατάπλασμά τε ταῖς παρωτίσιν ἐπιτιθέμενοι μαλάττουσί τε καὶ διαφοροῦσι τὸν ὄγκον, ὄξει δὲ τὸ τούτων ἄλευρον φυρόμενον[1] καὶ ψωριῶσιν ἐπαλειφόμενον[2] λυσιτελεῖ. ὠφέλιμος δέ ἐστι ὁ τούτων ζωμὸς πρὸς ἰκτερικοὺς καὶ τὰ οὖρα λευκαίνει. δεῖ δὲ μήτε πρὸ τῆς ἄλλης τροφῆς τούτοις χρῆσθαι μήτε μετὰ τὴν τροφήν, ἀλλὰ διὰ μέσου. οἱ[3] δὲ μέλανες ἐρέβινθοι ἐὰν συνεψηθῶσι ῥαφανίσι καὶ σελίνῳ, ὁ τούτων ζωμὸς σὺν ἀμυγδαλελαίῳ πάνυ καθαρτικὸς γίνεται τοῖς ἐν τοῖς νεφροῖς καὶ τῇ κύστει. μετὰ δὲ κυάμου ἐσθιόμενοι σώματος εὐεξίαν καὶ λιποσαρκίαν[4] ἐργάζονται. λέγεται δὲ περὶ αὐτῶν καὶ τοῦτο, ὡς, εἴ τις ποδαγρικὸς μέλανας ἐρεβίνθους ἑψήσει, ἄχρις ὅτου[5] λυθῶσι[6] καὶ μέλιτι ἐξηφρισμένῳ ἐπίσης ἐμμίξῃ καὶ μεταλάβῃ ἐπὶ τρισὶ συναπταῖς ἡμέραις, ἑκάστῃ ἡμέρᾳ λίτρας μιᾶς[7], κατὰ πολὺ ὠφεληθήσεται. οἱ δὲ χλωροὶ ἐρέβινθοι φυσώδεις εἰσὶ καὶ δύσπεπτοι. τινὲς δέ φασιν, ὡς καὶ εὐχροίας τυγχάνουσι περιποιητικοί[8].

Περὶ ἐλαιῶν[9].

Αἱ ἐλαῖαι αἱ μὲν πέπειραι[10] συμμέτρως εἰσὶ θερμαί, αἱ δ' ἄωροι στυπτικαὶ καὶ ψυχραὶ καὶ ξηραί, γαστρὸς ῥωστικαὶ καὶ κοιλίας ἐφεκτικαί, πνεύμονος δὲ βλαπτικαί. αἱ δὲ μέλαιναι καὶ πέπειραι εὔφθαρτοι καὶ γαστρὸς καὶ ὀφθαλμῶν πημαντικαί, πρὸς δὲ καὶ

1) φυρώμενον K 2) ἐπιτιθέμενον B 3) εἰ δὲ οἱ I εἰ δὲ καὶ οἱ K 4) πολυσαρκίαν C 5) ἂν B 6) λιθῶσι M 7) μ. ποσὸν B 8) ποιητικοί B K 9) ἐλαῶν B M 10) πέπειροι K πέπυροι B

τῆς κύστεως. θερμαί τέ εἰσι τὴν κρᾶσιν καὶ ἐπὶ τὸ ξηρότερον ῥέπουσιν. αἱ δὲ κολυμβάδες λεγόμεναι ψυχραί τέ εἰσι καὶ ξηραί, καὶ πρὸ τῶν τροφῶν σὺν γάρῳ λαμβανόμεναι προτρέπουσι τὴν γαστέρα. φασὶ δὲ καὶ ὡς εἴ τις οἴκημα ζωμῷ βρέξει ἐλαιῶν, ἀπολέσει τὰς ἐν αὐτῷ ψύλλους[1], καὶ μάλιστα εἰ τούτῳ προσμίξει μέρος τι κυμίνου ἀγρίου τετριμμένου. αἱ δὲ ἐλαῖαι οὐ πλείω τριακοσίων σταδίων τῆς θαλάττης πόρρωθεν γίνονται, καὶ διὰ τοῦτο αἱ περαιτέρω[2] τοῦ τοιούτου διαστήματος ἀπέχουσαι[3] τῆς θαλάττης χῶραι[4] ἐλαιῶν ἀποροῦσιν.

Περὶ ἐλαίου.

Τὸ ἔλαιον θερμόν ἐστι μετρίως καὶ μᾶλλον ὑγραντικόν. τὸ δὲ ὠμοτριβές, ὅσον μετέχει στύψεως, τοσοῦτον καὶ ψυχρότητος, τὸ δὲ πεπλυμμένον ἀδηκτότερόν ἐστι, τὸ δὲ παλαιόν, ὅσῳ παλαιότερον, τοσούτῳ καὶ θερμότερον καὶ διαφορητικώτερον, καὶ μάλιστα εἰ λεπτομερὲς ἐξ ἀρχῆς εἴη. κρίνεται δὲ τοῦτο τῷ τε καθαρὸν καὶ διαυγὲς εἶναι καὶ τῷ ἐξ ὀλίγου πλεῖστον μέρος τοῦ σώματος ἀλείφεσθαι καὶ ῥᾳδίως ἀναπίνεσθαι ὑπ' αὐτοῦ. διακρίνεται δὲ τὸ ποσὸν τῆς θερμότητος καὶ ψυχρότητος τοῦ ἐλαίου τῇ γεύσει. γλυκὺ[5] ὄν, σύμμετρόν ἐστι τῇ θερμότητι· στυφῶδες δὲ ψυχρόν. ὑπάρχει δὲ τὸ τοιοῦτον εὐστόμαχον. ὁ δὲ τοῦ ἐλαίου τρυγίας θερμός ἐστι καὶ ξηρός, ὠφέλιμος δὲ πρὸς τὰς περὶ τὸν σπλῆνα ἐμπνευματώσεις· πλὴν βλαπτικός ἐστι πνεύμονος. εἰ δὲ βούλεται, φησί τις, τῷ ἐλαίῳ ἀμυγδαλελαίου ἢ πιστακελαίου γεῦσιν περιθεῖναι, τὸ ἔλαιον ἑψη-

1) ψύλλας B K 2) πορρωτέρω I om K 3) ἀ. τ. θ. om B 4) οὖσαι B M 5) γλυκύτερον B

σάτω μεθ' ὕδατος[1] τριπλασίου αὐτοῦ ἐμβαλὼν τούτῳ ἀμύγδαλα ἢ πιστάκια τετριμμένα, καὶ ἐασάτω ἐπὶ τοῦ πυρός, ἄχρις ὅτου τὸ ὕδωρ ἀναλωθῇ. μεταλήψεται γὰρ ἱκανῶς τῆς τοῦ ἐμβαλλομένου ποιότητος.

Ἀρχὴ τοῦ ζ.

Περὶ τῆς ζειᾶς[2].

Ἡ λεγομένη ζειὰ παραπλησίαν ἔχει τῷ σίτῳ δύναμιν, μεταξὺ οὖσα[3] τοῦ θερμαίνειν τε καὶ ψύχειν, ἠρέμα τε ξηραίνειν. ἔστι δὲ καὶ εὔπεπτος καὶ[4] εὔχυμος, πρὸς δὲ καὶ ἐμπλαστικὴ αὐτή.

Περὶ ζινζίφων.

Τὰ ζίνζιφα[5] σύμμετρά εἰσι τῇ θερμότητι καὶ ὑγρότητι. ἰδιότητα δὲ ἔχουσι τὸ τὴν δριμύτητα καταπαύειν τοῦ αἵματος, χρηστόν τε χυμὸν ἀπογεννᾷ καὶ κενοῖ τὸ ὀρρῶδες τοῦ αἵματος. λυσιτελεῖ δὲ τὸ τούτων ἀπόζεμα πρός τε βῆχας καὶ δυσπνοίας καὶ τὸ στῆθος καὶ τοὺς νεφροὺς καὶ τὴν κύστιν. κρείττονα δὲ τὰ μείζονα. τοιαῦτα δ' εἰσὶ τὰ ἐδεσσηνά[6]. καταπαύουσί τε τὸν ἀπὸ δριμέων χυμῶν ἔμετον· πλὴν δύσπεπτά εἰσι καὶ σπληνὸς βλαπτικὰ καὶ διὰ τοῦτο κρεῖττον τῷ τούτων χρῆσθαι ἀποζέματι.

Περὶ ζιγγιβέρεως.

Τὸ ζιγγίβερι θερμόν ἐστι κατὰ τὴν τρίτην ἀπόστασιν, ὑγρὸν δὲ κατὰ τὴν πρώτην. ὑπάρχει δὲ ἀποφρακτικὸν καὶ τροφῶν πεπτικὸν καὶ ἀφροδισια-

1) ὕδατος ἢ πιστακίων τε μετρίων, καὶ ἐασάτω B
2) ζέας B M 3) ἔχουσα corr I 4) καὶ seqq. om K
5) ζίτζινφα I ζίζυφα C 6) ἐδεσινά B

στικὸν καὶ πνευμάτων διαφορητικόν. λυσιτελεῖ δὲ πρὸς τὰς ὑπὸ[1] ὑγρότητος ἀμβλυωπίας, ὀξυδορκίαν[2] ἐμποιοῦν καὶ πρὸς τὴν ψυχρότητα τῆς τε γαστρὸς καὶ τοῦ ἥπατος καὶ τοὺς γλίσχρους χυμούς.

Περὶ ζουλαπίου.

Τὸ ζουλάπιον[3] σύμμετρόν ἐστι τῇ κράσει, ῥέπει δὲ ἐπὶ τὴν ψυχρότητα, λυσιτελεῖ δὲ πρὸς τοὺς ἀπὸ πυρετῶν καύσωνας καὶ οὐ μόνον τῶν[4] ἀπὸ ξανθῆς χολῆς ἀλλὰ καὶ τῶν[5] ἀπὸ φλέγματος καὶ πρὸς τὰς θερμὰς γαστέρας καὶ τὴν τραχύτητα τοῦ φάρυγγος. μετὰ δὲ ψυχροτάτου ὕδατος διδόμενον τοῖς[6] ὑπὸ καύσου[7] πυρετοῦ ἐνοχλουμένοις τὰ μέγιστα βοηθεῖ[8]. ῥωννύει τε τὴν γαστέρα καὶ[9] τὰ ἔντερα καὶ ἐκκόπτει τὴν ἄμετρον τῶν καταμηνίων ῥύσιν[10].

Ἀρχὴ τοῦ η.

[Περὶ τοῦ ἡδυόσμου.

Τὸ ἡδύοσμον τὸ ἄγριον[11], θερμόν ἐστι κατὰ τὴν τρίτην ἀπόστασιν, ξηρὸν δὲ κατὰ τὴν δευτέραν, καὶ[12] μᾶλλον[13] μετέχει τινὸς ὑγρότητος. ὠφελεῖ δὲ τὸ ψυχρὸν[14] ἧπαρ καὶ τὴν γαστέρα, ῥώννυσι δὲ τὸν στόμαχον τὸν ψυχρὸν[15], καὶ πέψιν ποιεῖ καὶ καταπαύει τόν τε ἔμετον καὶ τὸν λύγγα[16]. λυσιτελεῖ δὲ πρὸς καρδιωγμοὺς καὶ διεγείρει τὴν ὄρεξιν.

1) ἀπὸ I 2) ὀξυδερκίαν I ὀ. ἐμπ. om C 3) „leg. ζούλαπιν ast in princip. cap. τὸ ζουλάπιον" H 4) τοὺς B 5) τοὺς B 6) τοὺς B 7) καυσώδους B M 8) ὠφελεῖ B 9) κ. τ. ἐντ. om B C M 10) ἀγωγήν B 11) del. I 12) τὸ δὲ κήπευτον θερμόν ἐστι κατὰ τὴν δευτέραν καὶ K. 13) καὶ μᾶλλον τοῦ ἀγρίου om M τὸ ἄγριον B 14) om I C 15) ἐ. ψ. addit I C K 16) λευ-ύγγα corr I λίγγα B τὴν λάρυγγα F

ἔστι δὲ καὶ πνευμάτων διαφορητικὸν καὶ ἑλμίνθων ἀναιρετικόν, καὶ μάλιστα ὁ τοῦ ἀγρίου ζωμός. ὑπάρχει δὲ καὶ ἀφροδισιαστικὸν καὶ τῶν ψυχρῶν νεφρῶν θερμαντικὸν καὶ τῶν παχέων χυμῶν τμητικὸν καὶ λεπτυντικόν, ἀποφρακτικόν τε τῶν ἐν τῷ ἥπατι καὶ τῷ σπληνὶ ἐμφράξεων. οὐ δεῖ δὲ κατακόρως τούτῳ χρῆσθαι, ἐπεὶ λεπτύνει τὸ αἷμα καὶ ὀρρῶδες ἐργάζεται καὶ ἀλλοιοῖ τοῦτο εἰς ξανθὴν χολήν, εἶτα παρασκευάζει τὸ λεπτότερον τοῦ αἵματος διαφορηθῆναι καὶ[1] τὸ παχὺ καὶ μαλαγχῶδες καταλειφθῆναι[2], καὶ διὰ τοῦτο δεῖ τοὺς ξανθοχόλους τούτου ἀπέχεσθαι. συντριβόμενον δὲ ἅλατι καὶ δήγματι ἐπιτιθέμενον λυσσῶντος[3] κυνὸς ἴαμα τῷ δηχθέντι γίνεται. ξηραινόμενον δὲ καὶ τριβόμενον καὶ μετὰ μὴν τροφὴν λαμβανόμενον πρὸς[4] τὴν πέψιν ἐνεργεῖ, καὶ τοὺς σπληνικοὺς ὀνίνησι καὶ τῇ δυστοκούσῃ βοηθεῖ σὺν οἴνῳ πινόμενον. λέγεται δὲ καὶ ὅτι μασσώμενον καὶ ὀφθαλμιῶντι ἐπιτιθέμενον ἄκος γίνεται. φασὶ γὰρ ὡς καὶ τὸ τούτου ἀπόζεμα εὐθὺς ἰᾶται τοὺς ἀπὸ[5] τοῦ φάρυγγος αἷμα ἀνάγοντας ἐπιροφούμενον. τὸ δὲ σπέρμα αὐτοῦ τὴν γαστέρα καθαίρει καὶ τὸν πνεύμονα βλάπτει.

Ἀρχὴ τοῦ θ[6].

Περὶ θρύμβου.

Ὁ θρύμβος θερμός ἐστι καὶ ξηρὸς κατὰ τὴν τρίτην ἀπόστασιν. ὑπάρχει δὲ τοῦ φλέγματος λεπτυντικὸς καὶ πνευμάτων διαφορητικὸς καὶ διουρητικός[7],

1) καὶ — καταλειφθῆναι om B M 2) μελαγχωλικ" ἀπολειφθῆναι H 3) λυττῶντος B λυσσιῶντος K λυττόντος M 4) περὶ BC 5) ὑπὸ C 6) om F 7) οὐρητικός corr I

καὶ τοῖς δι' ὑγρότητα ἀμβλυωποῦσιν ὀξυδορκίαν[1] ἐμποιεῖ, συνεργεῖ τε πρὸς τὴν πέψιν τῆς τροφῆς καὶ πολλάκις κενοῖ[2] φλέγμα καὶ μετὰ τὴν τούτου κένωσιν αὖθις ἐπέχει τὴν γαστέρα· καὶ διὰ τὸ πεπτικὸν εἶναι[3] προσπλέκουσι ταῖς τῶν τροφῶν δυσπέπτοις τοῦτον τινές. οὐ μόνον δὲ διαφορητικός ἐστι τῶν πνευμάτων, ἀλλὰ καὶ κωλύει τὴν τούτων γένεσιν ἔν τε τῇ γαστρὶ καὶ τοῖς ἐντέροις· κατάγει καὶ τὰ ἔμμηνα καὶ τὸ τούτου ἀφέψημα ἐκβάλλει τοὺς[4] ἕλμινθας· καὶ μασσώμενος λυσιτελεῖ πρὸς ὀδόντων ἄλγημα τὸ ἀπὸ ψύξεως. βλάπτει δὲ τὸν βουβῶνα καὶ ξανθὴν ἀπογεννᾷ χολήν, ἐπὶ πλεῖον τε χρώμενος καὶ μέλαιναν, πολλάκις τε καὶ λίθους ἀπογεννᾷ ἐν τοῖς νεφροῖς.

Περὶ θύννων[5].

Οἱ θύννοι[6] παχύχυμοί εἰσι καὶ δύσπεπτοι καὶ μοχθηροῦ χυμοῦ γεννητικοί. φασὶ δὲ ὡς τὸ αἷμα αὐτῶν ἐπαλειφόμενον[7] τὴν τῶν τριχῶν[8] κωλύει ἔκφυσιν.

Ἀρχὴ τοῦ ι.

Περὶ ἰχθύων.

Οἱ ἰχθύες πάντες ψυχρᾶς εἰσι καὶ ὑγρᾶς κράσεως. οἱ δὲ ἐν πέτροις τρεφόμενοι τῶν ἄλλων εἰσὶν ἀμείνους, εὔπεπτοι ὄντες καὶ εὔχυμοι καὶ μετρίως ὑγραίνοντες διὰ τὸ μὴ ἔχειν σκληρὰν[9] τὴν σάρκα. δεύτεροι δὲ τούτων εἰσὶν εἰς εὐχυμίαν οἱ πελάγιοι ἢ ἔνθα ποταμοὶ εἰσβάλλουσι διάγοντες. οἱ δὲ ἐν ἰλύι καὶ ἐν λίμναις τρεφόμενοι μοχθηροί. σημεῖα

1) ὀξυδερκίαν I F 2) κινεῖ K 3) αὐτοῦ B
4) τὰς K 5) θέννων C 6) αἱ θύνναι I F θύνναι H θέννοι C 7) τῇ παρειᾷ ἐπαλ. F 8) τῶν γενείων F
9) σκιρρὰν C

δ' εὐχύμων ἰχθύων τὸ ἁπαλὴν ἔχειν τὴν σάρκα καὶ φολιδωτὴν καὶ μήτε γλίσχρην[1] μήτε δυσώδη μήτε πάνυ λιπώδη καὶ τὸ μὴ τάχιον ἐν τῷ ἀέρι ἀλλοιοῦσθαι καὶ σήπεσθαι, πρὸς δὲ καὶ τὸ τὴν γεῦσιν ἔχειν ἡδεῖαν καὶ λεπτὸν τὸ δέρμα. οἱ γὰρ τοιοῦτοι καὶ εὔπεπτοί εἰσι καὶ χρηστοῦ αἵματος γεννητικοί, εἰ καὶ τὸ ἐκ πάντων ἰχθύων ἀπογεννώμενον αἷμα λεπτότερόν ἐστι τοῦ ἀπὸ τῶν χερσαίων. ὠφελοῦσι γὰρ οἱ δηλωθέντες ἰχθύες τοὺς ἀγυμνάστους καὶ τοὺς τὴν δύναμιν ἀσθενεῖς καὶ τοὺς ἀνακομιζομένους ἀπὸ νόσου. οὐδὲν γὰρ ἄλλο ὑγείας τηρητικόν ὡς τὸ εὔχρηστον αἷμα. οἱ δὲ ἐν ποταμοῖς καθαροῖς τρεφόμενοι ἰχθύες εὔχυμοι, ὥσπερ οἱ ἐν θολεροῖς καὶ ἐν οἷς εἰσβάλλουσιν ὑπόνομοι καὶ ἄχρηστοι ὗλαι κακόχυμοι καὶ περιττωματικοὶ καὶ γαστρὸς βλαπτικοί· ἀλλὰ καὶ οἱ ἐν ἀνηνέμοις[2] τόποις διαιτώμενοι ἰχθύες οὐ χρηστοί. καὶ οἱ μὲν θαλάττιοι ἧττον[3] ὑγροί[4], οἱ δὲ ποτάμιοι τούτων πλεῖον[5], οἱ[6] δὲ λιμνώδεις καὶ ἰλυώδεις πολλὴν ἔχουσι τὴν ὑγρότητα. καὶ οἱ μὲν θαλάττιοι ἰχθύες εὐπεπτότεροι[7] καὶ δυσαναδοτώτεροι[8], οἱ[9] δὲ ποτάμιοι δυσπεπτότεροι καὶ εὐαναδοτώτεροι[10]. λυσιτελοῦσι δὲ οἱ ἰχθύες τοῖς ξανθηχόλοις, βλάπτουσι δὲ τοὺς φλεγματικοὺς καὶ τοὺς χαῦνα ἔχοντας τὰ νεῦρα καὶ μάλιστα χειμῶνος καὶ[11] ἐν ταῖς ψυχραῖς χώραις. οἱ δὲ μικροὶ ἰχθύες οἱ ἐν ὕδατι καθαρῷ καὶ ῥέοντι ἐπὶ γῆς ἐρυθρᾶς[12] καὶ ἐπὶ λίθων καὶ ἄμμου[13] εὔχρηστοι. οἱ δὲ κητώδεις καὶ μεγάλοι

1) γλίσχρον I K 2) νηνέμοις B C M ἐνηνέμοις F 3) om I C ἧττον — ποτάμιοι om H 4) ὑγιενοὶ B ὑγιεινοὶ M 5) ἔτι πλεῖστον B M 6) οἱ — ὑγρότητα om B 7) ἀπ. K 8) δυσανάδοτοι K δυσδοτώτεροι B δυσαναποδότεροι H 9) οἱ — εὐαναδοτώτεροι om B 10) εὐαναδώτεροι K 11) ἢ B 12) καθαρᾶς C 13) ἄμμων M ψάμμου H

δύσπεπτοι καὶ παχύχυμοι. οἱ δὲ μὴ εἰθισμένοι τὴν διὰ[1] τῶν ἰχθύων τροφὴν πάνυ[2] βλάπτονται ὑπ' αὐτῆς, δίψαν τε ἐμποιοῦσι, καίτοι γε ψυχροὶ ὄντες καὶ ὑγροί, καὶ μάλιστα ἐν χολώδει γαστρί. ὁ δὲ τῶν πετραίων ἰχθύων ζωμὸς προτρέπει τὴν γαστέρα. οἱ δὲ ταριχευτοὶ ἰχθύες[3] θερμοί εἰσι καὶ ξηροὶ καὶ τῶν παχέων χυμῶν τμητικοὶ καὶ λεπτυντικοὶ καὶ μᾶλλον οἱ εὔχυμοι. οἱ δὲ σκληρόσαρκοι ταριχευόμενοι πλείονα ἐπικτῶνται τὴν μοχθηρίαν. φασὶ δέ τινες ὡς δεῖ παραφυλάττεσθαι τὴν τῶν ταριχευτῶν ἰχθύων χρῆσιν[4] μετὰ τὴν φλεβοτομίαν. ἀλφούς τε γὰρ πολλάκις καὶ ψῶρας ἀπογεννῶσιν.

τὰς[5] δὲ κεφαλὰς τῶν ...... ῥεῦμα ὀφθαλμῶν πολυχρόνιον ἵστησι.

Περὶ ἰσχάδων.

Αἱ ἰσχάδες θερμαί εἰσι κατὰ τὴν πρώτην ἀπόστασιν, ὠφελοῦσι δὲ τὸ στῆθος καὶ πρὸς βῆχας[6]. εἰσὶ δὲ καὶ διουρητικαὶ καὶ τρόφιμαι ἱκανῶς, εὐεξίαν τε σώματος ἐργάζονται καὶ πρὸ τῆς τροφῆς λαμβανόμεναι τὴν γαστέρα προτρέπουσι, πλὴν εἰ μὴ τάχιον διέλθωσι τὴν γαστέρα μοχθηρὸν αἷμα ἀπογεννῶσι, καὶ διὰ τοῦτο οἱ κατακόρως ταύτας ἐσθίοντες ψωριῶσι[7] τε καὶ κνησμονὴ τούτοις ἐπιγίνεται. εὔχρηστος δέ ἐστι τροφή, καὶ δηλητηρίων ἀντιφάρμακον μετὰ[8] καρύων ἢ ἀμυγδάλων ἐσθιόμεναι. καθαίρουσι δὲ τοὺς νεφροὺς[9] καὶ ἀποφράττουσι τό τε ἧπαρ καὶ τὸν σπλῆνα, πλὴν θερμαίνουσι καὶ δίψαν ἐμποιοῦσι

1) om I 2) πάντες M 3) om K . 4) φύσιν B 5) addit. L p. 49 lin. 1 6) β. χρονίας C 7) φθειριῶσι B M 8) εἰ μετὰ κ. ἢ ἀ. προσληφθῇ B K 9) τὸ ἧπαρ κ. τοῖς νεφ. ἀποφρ. κ. τὸν σπλ. C

καὶ ξανθὴν[1] ἐν ταῖς θερμαῖς δηλονότι[2] κράσεσιν ἀποτίκτουσιν[3] χολήν, καὶ διὰ τοῦτο δεῖ τοὺς τοιαύτην ἔχοντας κρᾶσιν ἐπιπίνειν εὐθὺς[4] ὀξυσάκχαρ μετὰ[5] τὴν μετάληψιν τῶν τοιούτων. μετὰ δὲ ὑσσώπου ἑψόμεναι πρὸς βῆχας χρονίους[6] λυσιτελοῦσι καὶ τὰ τοῦ θώρακος πάθη. ἐπιτιθέμεναι δὲ ταῖς παρωτίσι καὶ λοιποῖς ἀποστήμασι μαλάττουσι ταῦτα[7] καὶ συμπέττουσι καὶ μάλιστα τὰ[8] ἐν ταῖς μαλακωτέραις σαρξί. μετὰ δὲ τήλεως[9] καὶ ὄξους τοῖς ποσὶν ἐπιτιθέμεναι ποδαγρικοὺς ὀνίνησιν οὐ[10] μικρῶς.

Περὶ ἰντύβου.

Τὸ ἴντυβον ψυχρόν ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν[11], καὶ τὸ μὲν ἄγριον ξηρὸν κατὰ τὴν πρώτην, τὸ δὲ κηπευτὸν[12] ὑγρὸν κατὰ τὴν πρώτην[13]. εὐστόμαχον δέ ἐστι καὶ σὺν ὄξει χρώμενον μετὰ τὴν ἕψησιν τὴν γαστέρα ἐπέχει. ἔχει δὲ καὶ ἀποφρακτικὴν δύναμιν ὡς[14] οὐδὲν ἕτερον τῶν λαχάνων, καταπαύει τε τὴν τοῦ αἵματος ζέσιν καὶ διαφορεῖ τὰς ἐν τῷ ἥπατι φλεγμονὰς καὶ ἰκτεριῶντας ὀνίνησι καί τινι ἰδιότητι τὸ ἧπαρ ῥώννυσιν[15]. ὑπάρχει[16] δὲ καὶ μετρίου ὕπνου ποιητικόν[17]. φασὶ δέ τινες ὡς μετὰ τὴν φλεβοτομίαν ἢ τὴν σικύασιν[18] σὺν ὄξει χρώμενον συντηρεῖ τὴν τοῦ ἥπατος[19] ὑγιείαν. ἐκκόπτει

1) ξ. — κράσεσιν om B 2) δηλονότι om K 3) ἀπογεννῶσι B K 4) ταύταις B K 5) μετὰ seqq. om B K 6) χρονίας I C 7) ταύτας B K 8) om I 9) καλλικέρεως I F H 10) οὐ μ. om B K 11) ἀ. καὶ ὑγρὸν κατὰ τὴν αὐτήν. K 12) κ. εὐστόμαχόν τέ ἐστι καὶ σὺν ὄξει χρώμενον, μετὰ τὴν ἕψησιν τὴν γαστέρα ἐπέχει K 13) αὐτὴν τάξιν B M 14) ὡς — λαχ. om B C M uncis incl. K 15) ῥωννύει B M 16) ἔστι B H 17) περιποιητικὸν I F ποιητικόν — τὸ δὲ τούτου σπέρμα om C *18) σικύαν I F* 19) σώματος C M leg. ἥπατος H

δὲ σφοδρῶς τὴν τῶν ἀφροδισίων ὄρεξιν καὶ ἐλαττοῖ τὴν γονὴν ἐπὶ[1] *τῶν ψυχρὰν ἐχόντων τὴν κρᾶσιν. λυσιτελεῖ δὲ πρὸς πτύσιν αἵματος καὶ ὁ τούτου ζωμὸς πάνυ ὠφέλιμος τῷ ἥπατι. τὸ δὲ τούτου σπέρμα ὠφελεῖ*[2] *τοὺς ἀπὸ ξανθῆς χολῆς πυρετούς, βλάπτει δὲ τὸν σπλῆνα.*

Περὶ ἴων.

Τὰ ἴα ψυχρά ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ὑγρὰ δὲ κατὰ τὴν δευτέραν. ὠφελεῖ δὲ πρὸς ἐντέρων ἀλγήματα, βλάπτει δὲ τὴν καρδίαν, καταπαύει τε τὰς ἀπὸ ξανθῆς χολῆς κεφαλαλγίας πινόμενά τε καὶ ὀσφραινόμενα· κενοῖ[3] *τὴν ἐν τῇ γαστρὶ καὶ τοῖς ἐντέροις ξανθὴν χολήν. ὑγραίνει δὲ τὴν ξηρὰν κεφαλὴν καὶ ψύχει τὴν θερμὴν διὰ τῆς ὀσφρήσεως καὶ ὕπνον ἐπάγει, πλὴν τὰς ὑγρὰς κεφαλὰς ῥευματίζει. τὸ δὲ τούτων ἀπόζεμα τὰς τοῖς παισὶν συμβαινούσας κυνάγχας καὶ ἐπιληψίας ἰᾶται. τῇ δὲ κεφαλῇ χλωρὸν ἐπιπαττόμενον*[4] *μεταδίδωσι τῷ οὔρῳ*[5] *παραδόξως*[6] *τῆς οἰκείας ὀσμῆς. τὸ δὲ ἐκ*[7] *τούτων ἔλαιον τῆς ὁμοίας*[8] *ἐστὶ δυνάμεως κατά τε τὸ ψύχειν καὶ τὸ ὑγραίνειν. φασὶ*[9] *δέ τινες ὡς*[10] *εἴ τις τούτῳ*[11] *ἐν τῷ βαλανείῳ ἀλείφοιτο*[12] *πρὸ τοῦ ἱδρῶτος, οὐκ ἄν ποτε χείη*[13] *ἐν τῷ σώματι ἐξανθήματα ἢ πληγάς*[14]. *λυσιτελεῖ δὲ πρὸς τὰς*[15] *ἐν τοῖς καυσώδεσι πυρετοῖς κεφαλαλγίας*[16] *καὶ ὀσφραινόμενον καὶ ἐπαλειφόμε-*

1) *ἐπὶ* seqq. om B C M 2) *λυσιτελεῖ πρὸς τὰς ἀπὸ τῆς χολῆς δηλονότι ξ. πυρετούς* I 3) *κενοὶ δὲ πινόμενα* I K 4) *ἐπιπλαττόμενον* K *καταπλαττόμενον* F corr H 5) *τῷ οὔρῳ* om. F H 6) del. I C 7) *παρ' αὐτῶν σκευαζόμενον* I 8) *οἰκείας* B M 9) *φασὶ — πληγάς* om C 10) *ὡς ἐν τῷ βαλ.* I 11) *τούτων βαλανείῳ* B M 12) *ἐπαλειφόμενον* I F H *χρίοιτο* B M 13) *χεῖ* I F *χῇ* B M 14) *πληγήν* B 15) *τοὺς* I 16) *κεφαλαλγοῦντας* I

νον. σκευάζεται δὲ ἐξ αὐτῶν ἰοσάκχαρον[1] καὶ ἰοζούλαπον καὶ χρῶνται τούτοις πρὸς τὰ τοῦ θώρακος καὶ πνεύμονος πάθη[2].

Ἀρχὴ τοῦ κ.

Περὶ κυδωνίων.

Τὰ κυδώνια ψυχρά ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηρὰ δὲ κατὰ τὴν δευτέραν, στύφει τε καὶ ῥώννυσι[3] τὸν στόμαχον καὶ ἐπέχει τὴν γαστέρα πρὸ τροφῆς λαμβανόμενα[4]· καὶ τὰ οὖρα προτρέπει. κατακόρως δὲ ἐσθιόμενα δύσπεπτα γίνεται καὶ[5] κωλικὰς ἐνίοτε ποιεῖ διαθέσεις, ἑψόμενα[6] δὲ εὐπεπτότερα γίνεται. γλυκύτερα ἧττον στύφει, τὰ δὲ καὶ τὰ μὲν ὀξώδη[7] μᾶλλον. πρὸς δὲ καὶ ψυχρότερά[8] ἐστι πάντα καὶ τὸν ἔμετον ἀναστέλλει. μετὰ δὲ τὴν τροφὴν χρώμενα προτρέπει τὴν γαστέρα· προσφερόμενα δὲ πρὸ τῆς τροφῆς ἐν τοῖς ψυχραῖς κοιλίαις ὀξύνει τὰς τροφάς. οὐκ ἐπὶ πάντων δὲ μετὰ τὴν τροφὴν προτρέπει τὴν γαστέρα, ἀλλ' ἐφ' ὧν μὲν ἀσθενὴς[9] ἡ καθεκτικὴ δύναμις τῆς[10] γαστρός. ἰσχυρὰ δὲ ἡ ἐκκριτική[11]. ἐπὶ δὲ πότῳ μασσώμενα κωλύει τὸν ἐκ τοῦ οἴνου ἀτμὸν ἀναδίδοσθαι τῇ[12] κεφαλῇ. λέγεται δὲ ὡς εἴ τις ἔγκυος ταῦτα συνεχέστερον ἐσθίει[13], εὐφυέστατόν ἔσται τὸ ἐξ αὐτῆς παιδίον καὶ πονηρόν. τὸ δ' ἐξ αὐτῶν σκευαζόμενον[14] κυδωνάτον[15] εὐστόμαχόν ἐστι καὶ ἥπατος ῥωστικόν.

1) ἰοσκάχαρον K H ἰοσάχαρ B C M 2) ἀρρωστίας I 3) ῥωννύει I 4) om C 5) καὶ — γίνεται om I F H 6) ἑψ. — γίνεται om. B M 7) ὀξέα B K 8) ψυχρά I 9) ἀσθενεῖ C 10) τῆς γ. om I C 11) ἀποκριτική B M F H 12) εἰς τ. κ. B K 13) τρώγει I F 14) τὸ δὲ παρ' αὐτῶν κατασκευ- I C 15) κυδώτον K κυδωνάτων F

Περὶ κερασίων.

Τὰ κεράσια ψυχρά ἐστι καὶ ὑγρὰ καὶ γαστρὸς ὑπακτικά[1]. ἔστι δὲ καὶ κακοστόμαχα καὶ ὑγρᾶς γαστρὸς βλαπτικά, καὶ μάλιστα τὰ ἄωρα. ὠφέλιμα δὲ ταῖς θερμαῖς καὶ ξηραῖς[2] κράσεσι. τὸ δὲ τοῦ δένδρου κόμμι[3] λαμβανόμενον μετ' οἴνου λιθιῶντας[4] ὀνίνησι.

Περὶ καρύων.

Τὰ κάρυα τὰ μὲν χλωρὰ θερμά ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν τὰ δὲ ξηρὰ θερμὰ κατὰ τὴν δευτέραν. ἔστι δὲ τὰ χλωρὰ γαστρὸς προτρεπτικά, καὶ διὰ τοῦτο χρῶνται[5] αὐτοῖς σὺν γάρῳ πρὸ τροφῆς. εἰσὶ δὲ τῶν ἀμυγδάλων εὐπεπτότερα[6]. τὰ δὲ ξηρὰ τῷ στόματι ἐμποιεῖ φλεγμονὰς καὶ πληγάς. εὐστομαχώτερα δὲ γίνεται σὺν ἰσχάσιν ἐσθιόμενα. φασὶ δὲ τὸν ἐσθίοντα ἰσχάδας μετὰ καρύων καὶ πηγάνου πρὸ τῶν σιτίων, μηδὲν ὑπὸ θανασίμων φαρμάκων μέγα[7] βλάπτεσθαι. καὶ ἐν μὲν τοῖς ψυχροῖς στομάχοις εὐχερῶς τὰ κάρυα πέττεται, ἐν δὲ τοῖς θερμοῖς ἀλλοιοῦται[8] εἰς χολώδη[9] χυμὸν καὶ φάρυγγος ποιεῖ ἀλγήματα καὶ κεφαλαλγίαν, καὶ πρὸς βῆχάς ἐστι βλαβερά. πρὸ δὲ τῆς ἄλλης τροφῆς ἐσθιόμενα πρὸς[10] ἔμετον συνεργεῖ. κατακόρως δὲ χρώμενα ἐκβάλλειν εἴδομεν[11] τὰς[12] ἕλμινθας. καὶ πρὸς τοὺς ὀδαξισμοὺς τῶν ὀδόντων λυσιτελεῖ.

1) προτρεπτικά I F 2) κοιλίαις καὶ I K 3) κόμυ B 4) λ. ὥς φασιν B C K 5) ἔνιοι τοῦτ' ἐσθίουσι μετὰ σύρεος πρὸ τῆς τροφῆς I F H 6) ἀπ. B M 7) καταβλάπτεσθαι I καταβλ. μέγα F 8) ἀλ. μᾶλλον καὶ χολὴν ἀποτίκτει. φάρυγγος δ' ἐστὶ ἀλγητικὰ καὶ κεφ. ποιεῖ καὶ βῆχας αὐξάνει I F 9) χυλόδη B 10) πρὸς — ἐκβάλλει margini adscript. in C 11) ἐκβάλλει B C M 12) τοὺς I K

Περὶ κολοκυνθῶν.

Ἡ κολοκύνθη ψυχρά ἐστι καὶ ὑγρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν, εὔπεπτός τε καὶ εὔχυμος καὶ οὐ πάνυ τρόφιμος, δίψους[1] τε παυστικὴ καὶ διουρητικὴ καὶ[2] γαστρὸς προτρεπτική. λυσιτελεῖ δὲ ταῖς ξηραῖς καὶ θερμαῖς κράσεσι καὶ καταπαύει τὰς φλεγμονὰς τῆς τε γαστρὸς καὶ τοῦ ἥπατος. βλάπτει δὲ τοὺς φλεγματικοὺς καὶ πρὸς τὰς κωλικὰς διαθέσεις. εἰ δὲ μοχθηροῖς ἐν τῇ γαστρὶ ἐντύχῃ[3] χυμοῖς, φθείρεται καὶ κακόχυμος γίνεται. ἐκκόπτει δὲ τὴν τῶν ἀφροδισίων ὄρεξιν καὶ ἐλαττοῖ τὴν γονήν. τὸ δὲ ἐξ αὐτῆς γεννώμενον αἷμα λεπτόν ἐστι τὴν σύστασιν. ὠφελεῖ δὲ τὸν θώρακα καὶ πνεύμονα καὶ κύστιν. τῶν δὲ ξυσμάτων αὐτῆς ὁ χυλὸς πρὸς ὦτα φλεγμαίνοντα ἁρμόττει σὺν ῥοδίνῳ ἐπιτιθέμενος, καὶ ὅλη δὲ καταπλαττομένη τὰς θερμὰς ψύχει φλεγμονάς.

Περὶ καστάνων.

Τὰ κάστανα, ἃ[4] καὶ Διὸς βάλανοι ὀνομάζονται, θερμά ἐστι καὶ ξηρὰ κατὰ τὴν πρώτην[5] ἀπόστασιν, τροφὴν δὲ δαψιλῆ[6] παρέχει τῷ σώματι καὶ βραδύπορά ἐστι καὶ δύσπεπτα, παχύχυμα[7] τε καὶ κεφαλαλγικὰ καὶ[8] φυσώδη καὶ γαστρὸς ἐφεκτικὰ καὶ κωλικῶν νοσημάτων γεννητικά. ὀπτώμενα δὲ τὸ πολὺ τῆς βλάβης ἀποτίθεται ὡσαύτως καὶ ξηραινόμενα[9].

Περὶ κράμβης.

Ἡ κράμβη θερμή ἐστι καὶ ξηρὰ κατὰ τὴν πρώτην ἀπόστασιν, κακόχυμός τε καὶ μελαγχολικοῦ χυ-

1) δίψης C 2) κ. γ. πρ. om B 3) ἐντυγχάνοι F I ἐντύχοι B M 4) ἃ κ. Δ. β. ὀ. om I H 5) τρίτην K 6) δαψιλὴν B C M 7) παχυχυμότερα I F 8) κ. φ. κ. γ. ἐ. om C 9) ξηρανθέντα B C M H

μοῦ γεννητική, ὄψιν τε ἀμβλύνει καὶ ἐναντίοις ὀνείροις[1] καθ' ὕπνους θορυβεῖ. ὁ δὲ ταύτης χυλὸς ἔχει τὸ καθαρτικόν, αὐτὸ δὲ τὸ σῶμα τὴν γαστέρα ἐπέχει καὶ διὰ τοῦτο ἐφ' ὧν ὑγραινομένην γαστέρα ξηρᾶναι βουλόμεθα, μετρίως ἕψοντες αὐτὴν καὶ τὸ πρῶτον ὕδωρ ἐκχέοντες[2], ἐμβάλλομεν εὐθέως ἑτέρῳ θερμῷ ζέοντι. οὐ δεῖ γὰρ ψαύειν οὔτ' ἀέρος οὔτε ψυχροῦ ὕδατος τὸ δὶς ἑψόμενον. ἡ δὲ θερινὴ κράμβη κακοχυμωτέρα τῆς χειμερινῆς. ἔστι δὲ καὶ διουρητικὴ καὶ ἑλμίνθων ἀναιρετική, καὶ τοῖς ἀπὸ οἴνου κραιπαλῶσι[3] λυσιτελεῖ. λέγεται δὲ ὡς τὰς[4] ἀπὸ ὑγρότητος ἀμβλυωπίας ἰᾶται. μετὰ δὲ πιμελώδους κρέατος ἑψομένη τὸ πολὺ τῆς βλάβης ἀφαιρεῖται. τὸ δὲ ταύτης σπέρμα[5] ἰδιότητί τινι φθείρει τὴν γονὴν τῇ ὑστέρᾳ ἐπιτιθέμενον[6] καὶ κωλύει συλλαβεῖν τὰς γυναῖκας. βλάπτει δὲ[7] τὸν πνεύμονα. φασὶ δὲ καὶ ὡς πρὸ τῆς ἄλλης τροφῆς λαμβανομένη κωλύει[8] τὴν μέθην, καὶ ὡς ὁ ταύτης χυλὸς σὺν μέλετι λαμβανόμενος μεγάλως τὰς ἐπισυμβαινούσας ἀφωνίας ὀνίνησιν. ἐπιτιθεμένη[9] τε τραύμασι ταῦτα συγκολλᾷ καὶ τὰ τῶν ἑλκῶν κακοήθη καὶ τὰς σκιρρωθείσας[10] ἰᾶται φλεγμονάς.

Περὶ Κωναρίων[11].

Κωνάρια[12] ἤτοι οἱ στρόβιλοι. ὁ τοιοῦτος καρπὸς θερμός ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν, ξηρὸς δὲ κατὰ τὴν πρώτην, τρόφιμός τε τυγχάνει ἱκανῶς καὶ

1) ἐνυπνίοις K 2) πρότερον ὕ. ἀποχ. I K 3) κρεπαλῶσι B M κραπαιλῶσι K 4) τὴν μὲν ὑγῆ ὄψιν ἀμβλύνει τὴν δὲ δι' ὑγρότητα ἀμβλυωπίαν ἰᾶται K λέγεται — κρέατος om B M 5) ἄνθος corr I F 6) ὑποτιθ. M 7) τε I δὲ καὶ B 8) κωλ. — λαμβ. om C 9) ἐπι. — φλεγμονάς om C 10) σκληρωθείσας I F 11) „titulus est: κόναρ ἤτοι στρόβιλοι" H 12) κοκκονάριοι K ὁ τῶν κωναρίων ἤτοι τῶν στροβύλων καρπὸς C I κωνάρεα M

παχύχυμος καὶ δύσπεπτος καὶ καρηβαρικός, χρηστόν τε αἷμα ἀπογεννᾷ. καὶ τὰς ἐν τῷ θώρακι λεαίνει τραχύτητας. ὠφελεῖ δὲ πρὸς τὰς ἐν κύστει πληγὰς καὶ τὰς ἐν τῇ γαστρὶ καὶ τοῖς νεφροῖς δριμύτητας, καὶ πρὸς βῆχας χρονίας καί πνεύμονος ὑγρὰ πάθη καὶ τοὺς ἐμπυικούς. μετὰ δὲ μέλιτος ἢ ἀσταφίδων[1] χρώμενος εὐπεπτότερος γίνεται καὶ τῇ γονῇ προστίθησι. λυσιτελεῖ δὲ καὶ πρὸς διαθέσεις τρομώδεις.

Περὶ κινάρων.

Ἡ κινάρα κακόχυμόν ἐστι ἔδεσμα καὶ μάλιστα ὅταν[2] σκληροτέρα[3] εἴη. ἀπογεννᾷ δὲ χολώδη χυμὸν καὶ τὴν οὐσίαν ἔχει ξυλωδεστέραν, ὥστε ἐκ μὲν ταύτης μελαγχολικὸν γεννᾶσθαι χυμόν, ἐκ δὲ τοῦ κατ' αὐτὴν χυλοῦ λεπτὸν καὶ πικρόχολον[4]. ἄμεινον[5] οὖν εἰ δεήσῃ τὰς νεωτέρας[6] ἐσθίειν ἀλλὰ καὶ τούτων τὸ ἔνδον[7] διὰ τὸ ἁπαλώτερον.

Περὶ κίτρων[8].

Ὁ μὲν φλοιὸς θερμός ἐστι καὶ ξηρὸς κατὰ τὴν πρώτην[9] ἀπόστασιν ἐπιτεταμένην[10]. ἡ δὲ σὰρξ ψυχρά[11] ἐστι κατὰ τὴν δευτέραν[12]. τὸ δὲ ἔνδον ὀξῶδες ψυχρὸν καὶ ξηρὸν κατὰ τὴν τρίτην· τὸ[13] δὲ σπέρμα θερμὸν καὶ ὑγρὸν[14] κατὰ τὴν δευτέραν, καὶ ἡ μὲν τούτων σὰρξ δύσπεπτός ἐστι καὶ φλέγματος[15] παχέος γεννητική, καὶ διὰ τοῦτο σὺν μέλιτι εἴωθεν ἐσθίεσθαι. ὁ δὲ φλοιὸς συνεργεῖ περὶ τὴν πέψιν

1) σταφίδων B C M 2) ἐν τοῖς σκληροτέροις B M 3) σκληροτάτη K 4) πικρόχηλον C 5) ἄριστον B 6) νεαρωτέρας K 7) ἔσωθεν K 8) τὰ κίτρα, τὰ καὶ μηδικὰ μῆλα B M F Κίτρα, ἃ καὶ μηδικὰ ὀνομάζονται I C H τὰ κ. ἃ καὶ μῆλα ἰνδικὰ ὀν. τούτων K 9) τρίτην I 10) ἐπιτεταγμένην H. 11) ψ. καὶ ὑγρά I K 12) πρώτην I K 13) τὸ — δευτ. om B M 14) ξηρὸν I C H 15) φλεγματώδους καὶ παχέως χυμοῦ γ. I C

τῆς τροφῆς καὶ πρὸς τὸν μελαγχολικὸν χυμὸν καὶ τὰς ἐκ τούτου ἀθυμίας λυσιτελεῖ. εὐστόμαχον δέ ἐστι εἴ τις αὐτῷ μετρίως χρήσαιτο. ἀμέτρως γὰρ χρώμενος δύσπεπτος γίνεται. τὸ δὲ σὺν μέλιτι καὶ ἀρτύμασι σκευαζόμενον, διακιτρίον[1] ὀνομαζόμενον, θερμαίνει τὴν γαστέρα καὶ τὴν ἐν αὐτῇ ὑγρότητα ῥύπτει καὶ τὴν τροφὴν πέττει. τὸ[2] δὲ ἄνευ ἀρτυμάτων σκευαζόμενον δύσπεπτόν ἐστι. τὸ δὲ τῶν κίτρων σπέρμα ἀντιφάρμακόν ἐστι πρὸς τὰ δηλητήρια καὶ τὰ τῶν ἰοβόλων δήγματα, μάλιστα δὲ τοὺς σκορπιοδήκτους ὀνίνησι. καὶ πινόμενον καὶ ἐπιτιθέμενον καταμηνίων ἐστὶν ἀγωγόν, τῶν δὲ ἐν τῇ μήτρᾳ ἐμβρύων ἐκτρωπικόν. τὸ δὲ ἐν αὐτοῖς ὀξῶδες τὴν ξανθὴν σφοδρῶς καταπαύει χολήν. θαυμαστὸν δέ, ὅτι ὁ θερμὸς ἄρτος τοῖς κίτροις ἐπιτιθέμενος, τάχιον σήπεσθαι ποιεῖ. φασὶ[3] δὲ ὡς καὶ διὰ νυκτὸς χρώμενον ὀφθαλμῶν λόξωσιν ἐμποιεῖ.

Περὶ καρδάμων.

Τὰ κάρδαμα θερμά ἐστι καὶ ξηρά. τέμνει δὲ τοὺς φλεγματικοὺς καὶ παχεῖς χυμούς. διὰ τοῦτο μίγνυται τοῖς ἀσθματικοῖς βοηθήμασι καὶ θερμαίνει σφοδρῶς. τὸ δὲ τούτων σπέρμα δυναμικώτερόν ἐστι πρὸς τὰς τοιαύτας ἐνεργείας[4].

Περὶ καππάρεως[5].

Κάππαρις θερμή ἐστι καὶ ξηρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν. σύγκειται δὲ ἀπὸ διαφόρων ποιοτήτων[6], ἔκ τε πικρότητος, δι' ἧς ῥύπτει καὶ καθαί-

1) δ. ὂν om C διακιτρίον B M H 2) τὸ — καταπαύει χολήν om C 3) φασὶ — ἐμποιεῖ om C M 4) quae addunt I et K omittunt libri scripti. 5) καμπ. B M κάπαρις H 6) ἰδιοτήτων K

ρει καὶ τέμνει, καὶ ἐκ δριμείας[1], δι' ἧς θέρμαίνει καὶ διαφορεῖ καὶ λεπτύνει, καὶ ἐκ στυφώδους, δι' ἧς συνάγει καὶ σφίγγει, καὶ διὰ τοῦτο σπλῆνας σκιρρώδεις[2] εἴπερ τι ἄλλο ὀνίνησι, καὶ μεταλαμβανομένη καὶ καταπλασσομένη δι'[3] ὄξους ἢ ὀξυμέλιτος. κινεῖ δὲ καὶ καταμήνια καὶ πρὸς ὀδόντων πόνους ὠφελεῖ σὺν οἴνῳ ἑψομένη ἢ ὄξει· καὶ ὁ μὲν ταύτης φλοιὸς περὶ ταῦτα ἰσχυρώτερος. ἀσθενέστερα δὲ τά τε φύλλα καὶ ὁ καυλὸς καὶ[4] ὁ καρπός. μαλάσσει τε ὁ μὲν[5] τὴν τῶν χοιράδων σκληρότητα, ὁ δὲ τούτων[6] χυλὸς ἀναίρει τοὺς ἐγγινομένους τοῖς ὠσὶ σκώληκας. ἐν[7] ὄξει δ' ἐντεθεῖσα ἀποφρακτικὴ γίνεται τῶν ἐν τῷ ἥπατι καὶ σπληνὶ ἐμφράξεων. ὠφελεῖ δὲ μάλιστα τὸν σπλῆνα ἰδιότητί τινι καὶ ἰσχιαδικοὺς[8] ὀνίνησι. βλάπτει δὲ τοὺς νεφροὺς καὶ τὴν κύστιν.

Περὶ κρομμύων.

Τὰ κρόμμυα[9] θερμά ἐστι καὶ[10] ξηρὰ κατὰ τὴν τετάρτην ἀπόστασιν, ὑγρὰ δὲ κατὰ τὴν τρίτην. ἡ δὲ τούτων οὐσία παχυμερής. ἔστι δὲ διουρητικὰ καὶ γονῆς γεννητικὰ καὶ[11] πρὸς τροφῆς ὄρεξιν διεργετικά. πέφυκε δὲ καὶ κεφαλαλγικὰ καὶ κακοστόμαχα, ὡς δέ τινές φασι καὶ αὐτοῦ τοῦ λογιστικοῦ[12] βλαπτικά. ἑψόμενον δὲ τὸ κρόμμυον τὴν πλείονα βλάβην ἀποβάλλεται[13] καὶ ὠφέλιμον γίνεται πρός τε τὰς τοῦ θώρακος τραχύτητας καὶ τὰς[14] βῆχας· τάς τε αἱμορροΐδας ἀναστομοῖ ἐπιτιθέμενον καὶ σὺν ὄξει καταχριόμενον τοὺς ἀλφοὺς ἀπορρύπτει· εἰ δὲ καὶ παχυ-

1) ἐνδριμότητος B M 2) σκληρώδεις I F H 3) μετ' I K 4) κ. ὁ. καρπός om B M 5) ὅμως B K 6) ταύτης B K. 7) om B M 8) ἰσχιακοῖς B C 9) κρόμυα C 10) κ. ξ. om M 11) κ. τροφῆς ὀρέξεως δ. I κ. πρ. τρ. ἔγερσιν δ. B M 12) λογικοῦ C 13) ἀποτίθεται B M 14) om I

μερές ἐστι τὴν οὐσίαν, ὅμως λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμούς· ἐμπνευματοῖ δὲ τὴν γαστέρα. εἰ δέ τις τούτῳ συνεχέστερον[1] χρήσοιτο, σπληνικοῖς περιπεσεῖται πάθεσιν.

Περὶ κιναμώμου.

Τὸ κινάμωμον τὸ μὲν ἄριστον τῆς τρίτης ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων, τὸ δὲ ἧττον τῆς δευτέρας. πάνυ δέ ἐστι λεπτομερὲς καὶ οὐδὲν[2] οὕτως ξηραίνει τῶν ἐξ ἴσου θερμαινόντων αὐτῷ[3]. καθαίρει δὲ τὸν στόμαχον καὶ πρὸς τὰς ὑπὸ ὑγρότητος βῆχας λυσιτελεῖ. θερμαίνει[4] τε τὸ ἧπαρ καὶ τὴν γαστέρα καὶ ξηραίνει τὰς ἐν τῇ κεφαλῇ καὶ τῇ κοιλίᾳ ὑγρότητας. ἄριστον δὲ τὸ λεγόμενον μούσουλον, τὸ ἀπὸ Μουσούλου[5] πόλεως. εἰσὶ δὲ κιναμώμων εἴδη ἑπτά, ὀνομαζόμενα[6] ἀφ᾽ ὧν γίνονται χωρῶν, περὶ ὧν διεξιέναι τοῦ προκειμένου ἀνοίκειον σκοποῦ. ἔστι δὲ πάντα εὐστόμαχα καὶ τροφῆς πεπτικὰ καὶ[7] τοῦ φλέγματος λεπτυντικά, διουρητικά τε καὶ ἀποφρακτικά, καὶ καταμηνίων ἀγωγὰ καὶ ἐμβρύων ἐκτρωτικὰ πινόμενά τε καὶ σὺν σμύρνῃ τῇ ὑστέρᾳ ἐπιτιθέμενα. πέφυκε δὲ καὶ ἀντιφάρμακα πρός τε τὰ τῶν ἰοβόλων δήγματα καὶ τὴν τῶν δηλητηρίων μετάληψιν· ἀλφούς τε καθαίρει σὺν μέλιτι ἐπαλειφόμενα καὶ πρὸς ὑδρωπικὰ[8] πάθη καὶ ψύξεις νεφρῶν[9] λυσιτελεῖ. καὶ διὰ τοῦτο δεῖ τοὺς ψυχροὺς καὶ ὑγροὺς τὴν κράσιν προσπλέκειν τοῦτο ταῖς οἰκείαις τροφαῖς. βλάπτει δὲ τὴν κύστιν.

1) συνεχῶς B 2) οὐδὲ B 3) αὐτό B 4) θ. τ. τὴν γασ. κ. ξ. τὸ ἧπαρ κ. τὰς ἐν sq. C 5) μουσούλας K
6) ὀν. — χωρῶν om B 7) καὶ — ἐκτρωτικά om B C M
8) ὑδρωτικά C 9) μελῶν K

Περὶ καρυοφύλλων.

Τὸ καρυόφυλλον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν δευτέραν[1] ἀπόστασιν. τινὲς δὲ καὶ ἐν τῇ τρίτῃ[2] αὐτὸ τεθείκασιν[3]. ἔστι δὲ δένδρου καρπός. ὠφελεῖ δὲ τὸν στόμαχον καὶ ἧπαρ καὶ τὴν καρδίαν, καταπαύει τε τὴν ἀπὸ ὑγρότητος ναυτίαν, βλάπτει τε τὰ ἔγκατα[4].

Περὶ καρναβαδίου[5].

Τὸ καρναβάδιον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τρίτην ἀπόστασιν. ἐπιτήδειον δέ ἐστι πρὸς πέψιν τροφῆς καὶ πνευμάτων διαφόρησιν. τονεῖ[6] δὲ τὸν στόμαχον καὶ τὴν γαστέρα ἐπέχει καὶ τὰς[7] ἕλμινθας ἀναιρεῖ. ὑπάρχει δὲ καὶ διουρητικὸν καὶ[8] ἀποφρακτικόν, πλὴν τῆς ξανθῆς χολῆς ἐστι γεννητικὸν ἐν τοῖς θερμοῖς σώμασιν.

Κάρυον[9].

Τὸ ἀρωματικὸν κάρυον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν. ἐπέχει δὲ τὴν γαστέρα καὶ τονεῖ[10] τόν τε στόμαχον καὶ τὸ ἧπαρ· λυσιτελεῖ δὲ πρὸς τὰ χρόνια πάθη τοῦ ἥπατος. βλάπτει δὲ τὸν πνεύμονα.

Περὶ κυμίνου.

Τὸ κύμινον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τρίτην ἀπόστασιν. τινὲς δὲ ἐν τῇ δευτέρᾳ τοῦτο ἔθεσαν. ἔστι δὲ διουρητικὸν καὶ πνευμάτων διαφο-

1) τρίτην corr I C 2) δευτέρᾳ corr I C 3) ἔθηκαν B M 4) ἔγγατα I F 5) καρναβάδιν F K 6) τονοῖ I M 7) τοὺς I F 8) κ. ἀ. om B M F (καὶ φλέγματος τμητικόν), add K 9) περὶ μοσχοκαρύου B περὶ καρύου ἀρωματικοῦ C „κάρυον leg κ. ἀρωμ." H 10) τονοῖ B

ρητικὸν καὶ μάλιστα τῶν ἐν τῷ στομάχῳ. πινόμενον δὲ καθ' ἑαυτὸ ὠχρίασιν[1] ἐμποιεῖ, ἐκκόπτει τε τὴν τοῦ αἵματος ῥύσιν ἐκ τῆς ῥινὸς καὶ τὴν ἄμετρον τῶν καταμηνίων ῥοήν, καὶ[2] πινόμενον καὶ[3] ἅμα[4] παλαιῷ οἴνῳ τῇ ὑστέρᾳ ἐπιτιθέμενον[5]. ξηραίνει δὲ τὸν στόμαχον καὶ πυρὶ φρυγόμενον[6] καὶ ὄξει βρεχόμενον. ἐπέχει δὲ τὰς ἐξ ὑγρότητος γαστρορροίας, τριβόμενόν τε καὶ γυναικείῳ μαστῷ ἐπιτιθέμενον διὰ πῆξιν γάλακτος ὀγκωθέντι ἴαμα τούτῳ γίνεται[7]. μετὰ δὲ οἴνου πινόμενον ἀντιφάρμακον γίνεται πρὸς τὰ δηλητήρια καὶ τὰ τῶν ἰοβόλων δήγματα. φασὶ δὲ καὶ ὡς ἡ ἄμετρος χρῆσις αὐτοῦ λίθους ἀπογεννᾷ τοῖς νεφροῖς καὶ ὡς θυμιώμενον ἐκδιώκει τοὺς κώνωπας.

Περὶ κολιάνδρου.

Τὸ κολίανδρον[8] ψυχρόν ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηρὸν δὲ κατὰ τὴν τρίτην. ὑπάρχει δὲ εὐστόμαχον καὶ[9] ῥωστικόν. ἐπέχει δὲ τὰς τροφὰς ἐν τῷ στομάχῳ ὡς πεφθῆναι καλῶς. πυρὶ δὲ φρυγόμενον[10] τὴν γαστέρα ἐπέχει. λυσιτελεῖ δὲ πρὸς φλεγμονὰς καὶ τὰς θερμὰς[11] κράσεις. ἐκκόπτει δὲ τὰς τοῦ αἵματος ῥύσεις[12] πινόμενόν τε καὶ μετὰ τὸ τριβῆναι ἐπιτιθέμενον. μετὰ δὲ οἴνου πινόμενον ἐξάγει τὰς[13] ἕλμινθας· πλὴν ἀμέτρως χρώμενον παραφροσύνην ποιεῖ. ὁ δὲ τούτου χυλὸς πινόμενος δηλητήριόν ἐστι καὶ ἀναιρεῖ. ἄφωνοι[14] γὰρ γίνονται οἱ τοῦτον πίνοντες καὶ παράφρονες.

1) ὠχροίασιν I K „ὠχροίασιν leg ἐγχροιάσιν" H
2) om B 3) om B 4) ἅμα πάλιν τῇ ὑ. σὺν ἐλαίῳ C
5) ὑποτ. B M 6) φρυττόμενον B C 7) ἐστί I F
8) ἤτοι κορίανον add I F 9) κ. ῥ. uncis incl I κ. διουρητικόν B C M om H 10) ἐφρυγομένον B ἐκφρυγόμενον I F 11) ψυχρὰς C 12) τὴν — ῥύσιν I F 13) τοὺς I F
14) ἄφρονες B C

Περὶ κρόκου.

Ὁ κρόκος θερμός ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν, ξηρὸς δὲ κατὰ τὴν πρώτην, εἰ καί τινες θερμὸν τοῦτον ἔφησαν[1] κατὰ τὴν τρίτην. ἔστι δὲ εὐστόμαχος καὶ περὶ τὴν τῶν τροφῶν πέψιν συνεργεῖ[2]. ὑπάρχει δὲ καὶ ἀποφρακτικός. λυσιτελεῖ τε τὰ ἀπὸ φλέγματος πάθη καὶ τὰ ληθαργικά[3]. ἔστι δὲ καὶ διαφορητικὸς καὶ ἀφροδισιαστικὸς[4] καὶ τοῖς σπλάγχνοις ὠφέλιμος, πρὸς δὲ καὶ δυσπνοΐκοῖς. μετρίως δὲ χρώμενος εὔχροιαν περιποιεῖται. ἀμέτρως δὲ ὠχροίασιν[5] καὶ κεφαλαλγίαν καὶ ἀνορεξίαν πρὸς τὴν τροφὴν ἐργάζεται[6]. μετὰ[7] δὲ ὀπίου καὶ γάλακτος καὶ ῥοδελαίου τοῖς ποδαλγοῦσιν[8] ἐπιτιθέμενος[9], ἐπιτιθεμένων τούτοις φύλλων σεύτλου, μεγάλως ὥς φασιν[10] ὀνίνησιν. εἰ δέ τις μεταλήψεται αὐτὸν ἐξαγίων τριῶν γέλωτι[11] ἀπαύστῳ συσχεθήσεται, ᾧ δὴ παρέπεται θάνατος. λέγεται δὲ καὶ ὡς ἐπαρτώμενος[12] συνεζυμωμένος ὅσον καρύου μέγεθος τὸ χωρίον ἐκβάλλει μετὰ τὴν ἔκτεξιν[13].

Περὶ καφουρᾶς.

Ἡ καφουρὰ ψυχρά ἐστι καὶ ξηρὰ κατὰ τὴν τρίτην ἀπόστασιν. ἔστι δὲ δένδρου κόμμι ἤτοι δάκρυον φυομένου ἐν Ἰνδίᾳ. λέγεται δὲ ὡς τὸ δένδρον, ἐν ᾧ γίνεται, ὑπερμεγεθέστατόν ἐστι, δυναμένων ὑπ' αὐτοῦ σκιασθῆναι ἄνδρας ἑκατόν. φύεται δ' ἐν ὄρεσι πλησίον τῆς ἐκεῖσε θαλάσσης. ἔστι δὲ τὸ

1) *τιθέασι θερμὸν εἶναι* B 2) *ἐνεργεῖ* B 3) *λιθαργικά* B 4) om I F 5) *ὠχρίασιν* B I M 6) *πρ. τ. τρ. ἐργ.* om B M *τροφῆς ἐργ.* I 7) *μετὰ — ἔκτεξιν* om C 8) *ποδαγριῶσιν* I F 9) *ἐ. ἔνθα ἀλγοῦσιν* F I *ἐπιτιθέμενος μετὰ σεύτλων φύλλῳ μεγάλως* H K 10) *ὡς φ.* om I 11) *γέλῳ* H K 12) *ἐπ. ὅσ. καρ. μεγ. συν.* B 13) *ἔκταξιν* *B M* *ἔκτηξιν* F

ξύλον τοῦ τοιούτου δένδρου κοῦφον καὶ ναρθηκῶδες[1]. ὠφελεῖ δὲ τὰ[2] μέγιστα ἡ καφουρὰ πρὸς τὰ ὀξέα τῶν νοσημάτων[3] καὶ πρὸς τὰς ἐκ θερμότητος κεφαλαλγίας καὶ τὰς φλεγμονὰς καὶ μάλιστα τὰς τοῦ ἥπατος. πλὴν[4] ψύξιν ἐμποιεῖ τοῖς νεφροῖς καὶ τοῖς σπερματικοῖς ἀγγείοις, καὶ αὐτὸ πήγνυσι τὸ σπέρμα[5]. δοκιμάζεται δὲ εἰ ἀνόθευτός ἐστι τοῦτον τὸν τρόπον ἄρτῳ θερμῷ ἐπιτίθεται, καὶ εἰ μὲν ὑγρανθῇ, ἀνόθευτός ἐστιν, εἰ δὲ μή, εἰργασμένη[6].

Περὶ κρίνου.

Τὸ κρίνον θερμόν ἐστι τῇ κράσει, ὠφελεῖ δὲ ὀσφραινόμενον τὴν ψυχρὰν κεφαλήν. τὸ δὲ ἐξ αὐτοῦ ἔλαιον διαφορητικῆς[7] τε καὶ μαλακτικῆς δυνάμεώς ἐστι. τῇ δὲ τούτου ῥίζῃ χρῶνταί τινες εἰς ἀπούλωσιν[8] ἑλκῶν.

Περὶ κεφάλου[9].

Ὁ κέφαλος ἁπάντων μάλιστα τῶν ἰχθύων ποταμίοις τε καὶ θαλαττίοις χαίρει ὕδασι. δύσπεπτος δέ ἐστι καὶ κακοστόμαχος καὶ φλέγματος γεννητικός, καὶ μάλιστα ὁ ποτάμιος. ὁ δὲ πελάγιος ἧττόν ἐστι δύσπεπτος καὶ εὐχυμώτερος. αἷμα δὲ λεπτομερέστερον καὶ[10] ἀσθενέστερον ἀπογεννᾷ.

Περὶ κωβιοῦ[11].

Ὁ κωβιὸς αἰγάλιός ἐστι[12] ἰχθὺς καὶ ὁ μὲν κατὰ τοὺς ψαμμώδεις αἰγιαλοὺς ἢ εἰς[13] τὰς πέτρας καὶ

1) ναρθικῶδες K ἀναρθηκῶδες B 2) τ. μ. ἡ. κ. om C 3) ν. τὰ μέγιστα C 4) τὴν K 5) αἷμα K 6) ἐργαζομένη I ἠρασμένη C 7) διαφορητικόν ἐστι κ. μαλακτικὸν δυνάμει H K 8) ἀπώλειαν M B ἀπόλουσιν C 9) κεφάλου ἰχθύος B 10) κ. ἀ. om B M 11) „neque hic titulus adest, neque in principio vox legitur“ H 12) οὗτος K ὁ κω. ὁ αἰγ. ὁ μὲν sq. B 13) add B

ἀκτὰς[1] εὔχυμός ἐστι καὶ εὔπεπτος· ὁ δὲ ἐν τοῖς στόμασι τῶν ποταμῶν ἢ ταῖς λίμναις οὐκ εὔχυμος οὐδὲ εὔπεπτος. ὁ δὲ τούτου ζωμὸς κοιλίαν ὑπάγει. αὐτὸς δὲ ἄνευ ἁλὸς[2] ἐσθιόμενος ἰᾶται δυσεντερίας καὶ λειεντερίας καὶ τὰς τεινασμώδεις[3] προθυμίας.

Περὶ καρίδων.

Αἱ καρίδες θερμότητός τινος μετέχουσι καὶ[4] ὑγρότητος. εἰσὶ δὲ δύσπεπτοι καὶ κακοστόμαχοι καὶ ἀφροδισιαστικοί. συνεργοῦσί τέ τινι ἰδιότητι περὶ τὴν τῶν γυναικῶν κύησιν. τριβεῖσαι δὲ καὶ σὺν ὀξυμέλιτι ποθεῖσαι τὰς[5] ἕλμινθας ἐκβάλλουσι. λέγεται δὲ καὶ ὡς λειοτριβούμεναι καὶ μορίῳ[6] ἐπιτιθέμενα ἔνθα βέλους ἀκὶς ἢ ἄκανθα[7] εἰσέδυ. ἐκβάλλουσιν ἔξωθεν ταῦτά τινι φυσικῇ δυνάμει, γίνονται δὲ ἔν τισι τόποις μέγισται καὶ σπιθαμιαῖαι σχεδὸν τὸ μέγεθος, αἱ καὶ ἐνεργέστεραι[8].

Περὶ καράβων.

Οἱ κάραβοι δύσπεπτοί εἰσι καὶ τρόφιμοι καί τινος ἁλικοῦ μετέχουσι χυμοῦ. καὶ εἴ γε πολλάκις ἑψηθῶσι γλυκεῖ ὕδατι γαστρὸς γίνονται ἐφεκτικοί. λέγεται δὲ ὡς τὸ ὄστρακον καράβου[9] κεκαυμένον σὺν[10] ἀκράτῳ πινόμενον νεφροὺς λιθιῶντας καθαίρει ψαμμώδη οὖρα πολλὰ ἄγον[11].

Κάναβος[12].

Κανάβου τὸ σπέρμα ἐσθιόμενον τὸ τοιοῦτον παραπλησίως ἔχει τὴν βλάβην ὡς ὁ κοριανός. ἀμέτρως

1) τρεφόμενος add I 2) ἁλῶν K 3) τενεσμώδεις C 4) κ. ὑ. om B M 5) τοὺς I K 6) μόνον B 7) ἀκάνθας εἰσόδους B M 8) ἐν. τυγχάνουσιν B 9) om B 10) σ. α. π. uncis incl. K οἴνῳ ἀκράτῳ C 11) ἄγων I K 12) καννάβουρόσπερμα K huic exempl. add Velschius: totum

γὰρ ὡς ἐκεῖνος τρωγόμενον παραφροσύνην ποιεῖ. τὰ δὲ φύλλα ξηρὰ πινόμενα ὥσπερ ἄλευρον ἢ καὶ μᾶλλον ἀντὶ πόσεως τὸ τούτου[1] ἄλευρον ἐκμασσώμενον, ξένην τινὰ ποιεῖ μέθην καὶ ἀναισθησίαν τῷ τρώγοντι. ἐν γὰρ τοῖς Ἀράβοις τοῦτο μασσᾶται ἀντὶ οἴνου καὶ ἐκμεθύουσι, ξηραίνει δὲ τὴν γονὴν καθάπερ ἡ καφουρά.

Ἀρχὴ τοῦ λ.

Περὶ λαγωῶν.

Τὰ τῶν λαγωῶν κρέατα[2] τοῖς μὲν ξηρᾶναι βουλομένοις τὸ σῶμά εἰσι πάνυ λυσιτελῆ, τοῖς δὲ ξηροτέροις τὴν κρᾶσιν ἀσύμφορα. ἀπογεννᾷ δὲ αἷμα παχυμερὲς καὶ μελαγχολικόν, ἐπέχει τε τὴν γαστέρα καὶ τὰ οὖρα προτρέπει[3]. καλῶς μὲν οὖν πεφθέντα τρόφιμα γίνεται, τοὐναντίον δὲ ἔμφραξιν[4] τῷ τε ἥπατι καὶ τῷ σπληνὶ ἐμποιεῖ. βλάπτουσι[5] δὲ τὸν πνεύμονα καὶ ἀγρυπνίαν ποιοῦσι[6], ἡ δὲ τοῦ λαγωοῦ πιτύα[7] πρός τε τὰς διὰ χολέρας γαστρορροίας[8] καὶ ἐμέτους λυσιτελεῖ καὶ πρὸς τὰ τῶν ἰοβόλων δήγματα· κωλύει δὲ τὴν κύησιν μετὰ τὴν[9] τῶν καταμηνίων κάθαρσιν λαμβανομένη[10]. φασὶ δὲ ὡς τὸ τοῦ θήλεος αἰδοῖον τριβόμενον καὶ παρὰ γυναικὸς μετ' οἴνου πινόμενον[11] κύειν ταύτην ἐργάζεσθαι, εἰ μετὰ τὴν πόσιν εὐθὺς ἀνδρὶ συγγένηται, καὶ ὡς ὁ ἐγκέφαλος αὐτοῦ ὀπτημένος[12] τοὺς τρομώδεις[13] ὀνίνησιν.

hoc caput in MSS cferendum: in quibusdam enim non habetur, in aliis aliter legitur. 1) τοῦτον K 2) κρέα B K 3) κινεῖ C 4) ἐμφράξεις B C 5) βλάπτει I 6) ποιεῖ I 7) πιτία B πυτία K 8) στραγγουρίας C F 9) τὴν ἐκ K ἐκ suspectum habuit B 10) λαμβανόμενον B 11) λαμβανόμενον B 12) ὀπτώμενον I F 13) τὰς τρομώσεις K

Περὶ λεπτοκαρύων.

Λεπτοκάρυα[1], ἃ καὶ κάρυα ποντικὰ ὀνομάζονται, θερμά εἰσι καὶ ὑγρά. εἰσὶ δὲ τῶν καρύων τροφιμώτερα καὶ δυσπεπτότερα καὶ ἧττον θερμότερα. ἐμποιοῦσι δὲ ἐμπνευματώσεις καὶ βλάπτουσιν, ὥς φασί τινες, τὸ[2] λεγόμενον ἔντερον νῆστιν. εὐπεπτότερα δὲ γίνεται[3] αὐτῶν[4] καὶ ἔλαττον γαστρὸς ἐφεκτικά, τὸν[5] ἔνδον φλοιὸν ἀποβάλλοντα. λέγεται δὲ ὡς εἴ τις σὺν πηγάνῳ πρὸ τροφῆς τούτων μεταλήψεται, ὑπὸ δήγματος ἰοβόλου ἢ δηλητηρίου τῇ ἡμέρᾳ ἐκείνῃ οὐ βλαβήσεται[6], καὶ ὡς οἱ σκορπίοι φεύξονται ἀπ' αὐτοῦ, καὶ ὡς μετὰ ἰσχάδων μεταλαμβανόμενα τοὺς ἤδη δηχθέντας ὑπὸ σκορπίων ὀνίνησι, καὶ ὅτι πρὸς τὴν διὰ μέλανα χυμὸν ἐν τῇ γαστρὶ ὀξύτητα πάνυ λυσιτελεῖ.

Περὶ λιβάνου.

Τὸ λίβανον θερμόν ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν, ξηρὸν δὲ κατὰ τὴν πρώτην[7]. ἔχει δέ τινα καὶ στυφώδη ποιότητα, ἐπέχει τε τὴν γαστέρα καὶ ξηραίνει. θυμιώμενον δὲ ὠφελεῖ πρός τε βῆχας καὶ ῥευματισμούς. ἔστι δὲ καὶ καταμηνίων ἀγωγόν, πινόμενόν τε καὶ ὑποτιθέμενον[8]. ἔχει δέ τινα καὶ ξένην ἰδιότητα πρὸς ἀνατροπὴν λοιμοῦ θυμιώμενον, καὶ διὰ τοῦτο δεῖ ἐν λοιμώδει καιρῷ τὰς οἰκείας δι' αὐτοῦ συνεχέστερον θυμιᾶν· ἀλλοιοῖ γὰρ τὴν τοῦ ἀέρος φθαρτικὴν ποιότητα.

1) „principium capitis ita se habet: λεπ. θερμά εἰσι" H
2) τὰ ἔντερα, τὴν κύστιν B M 3) ἐστιν I 4) om B
5) εἰ ὁ ἔ. φλοιὸς ἀποβάλλεται corr I 6) βλαβηθήσεται K 7) τρίτην C 3) ἐπιτιθ. K

Περὶ λαδάνου.

Τὸ λάδανον θερμόν ἐστι κατὰ[1] τὴν δευτέραν ἀπόστασιν καὶ λεπτομερὲς καὶ μετρίως μαλακτικὸν καὶ διαφορητικὸν καὶ συμπεπτικόν. ἔχει[2] δέ τι καὶ στυπτικόν, διὸ καὶ τὰς ῥεούσας τρίχας κρατύνει.

Περὶ λάβρακος.

Ὁ λάβραξ[3] παραπλήσιός ἐστι τὴν κρᾶσιν τῷ κεφάλῳ. αἵματος γὰρ καὶ οὗτος λεπτοῦ γεννητικὸς καὶ φλέγματος, πλὴν διὰ τὸ ἡδὺ[4] τοῦ κεφάλου ἐστὶν ὀνησιμώτερος[5].

Ἀρχὴ τοῦ μ.

Περὶ μήλων.

Ἐν τοῖς μήλοις πολλή ἐστι διαφορά. ὅσα μὲν γὰρ στύφει, ψυχρὸν ἔχει καὶ γεώδη χυμόν, ὅσα δὲ ὀξέα φαίνεται, ψυχρὸν μὲν ἀλλὰ λεπτομερῆ. μέσης δέ ἐστι κράσεως τὰ γλυκέα πρὸς τὸ θερμότερον ῥέποντα. τοῖς μὲν οὖν στυφώδεσι χρῆσθαι δεῖ, ὅταν διὰ δυσκρασίαν θερμὴν ἢ ὑγρότητα πολλὴν ἄτονος ἡ γαστὴρ ὑπάρχει· ἐπέχει δὲ τὰ τοιαῦτα τὴν γαστέρα. τὰ δὲ ὀξέα δοτέον, ὅταν ἐν τῇ γαστρὶ παχὺς χυμὸς ἠθροισμένος ᾖ μὴ πάνυ ψυχρός. τέμνει γὰρ τοῦτον καὶ κάτω ὑπάγει[6]. τὰ δὲ γλυκέα τοῖς ψυχρὰν ἔχουσι τὴν γαστέρα ἁρμόζει, ὠφελεῖ δὲ τοὺς ὑπὸ ἰοβόλων δηχθέντας. πάντα δὲ τὰ μῆλα ἰδιότητί τινι βλάπτει τὰ νεῦρα, μᾶλλον δὲ τὰ μὴ πέπειρα[7]. λέγεται δὲ ὡς καὶ λήθην ἐμποιεῖ τῷ κατακόρως τούτοις χρω-

1) *περί που* B 2) *ἔχει — στυπ.* om B F 3) *λαύραξ* C 4) *ἡδύτερον* I F 5) *νοστιμώτερος* B 6) *καὶ ὑπάγει διὰ γαστρός* B M 7) *πέπυρα* B *τ. μ. π.* om M

μένῳ. πρὸς δὲ τὰς λειποθυμίας[1] καὶ καρδίας ἀτονίας[2] ἐστὶν ὠφέλιμα.

Περὶ μαρουλλίων.

Τὰ μαρούλλια[3], ἃ[4] καὶ θριδακίναι[5] καλοῦνται, ψυχρά ἐστι καὶ ὑγρὰ κατὰ τὴν τρίτην ἀπόστασιν. ἔστι δὲ ἄδιψον[6] ἔδεσμα καὶ ὑπνοποιόν, ἀλλ' οὐδὲ ἀπεπτεῖται τοῖς ἄλλοις ὁμοίως λαχάνοις[7]. συμμέτρως τε τὴν γαστέρα προτρέπει καὶ οὐδὲ κακόχυμον αἷμα ἀπογεννᾷ, οὐ μὴν εὔχυμον τελέως. ὠφελεῖ δὲ τὰς θερμοτέρας κοιλίας, κατακόρως δὲ χρώμενα ἀδυναμίαν ἐμποιεῖ ὅλῳ τῷ σώματι καὶ ἀμβλυωπίαν ἐργάζεται[8] καὶ πρὸς ἀφροδίσια δυσκινησίαν, καὶ τὸ σπέρμα τούτων πινόμενον ἐπέχει γονορροίας. ἅμα δὲ ῥοδοστάγματι μετὰ τῷ τριβῆναι[9] τοῖς κροτάφοις τῶν ἀύπνων ἐπιτιθέμενον ὕπνον ἐπάγει. δεῖ δὲ παρατηρεῖσθαι τὴν τῶν μαρουλλίων χρῆσιν τοὺς αἱμοπτοϊκοὺς καὶ[10] τοὺς ἀσθματικοὺς καὶ τοὺς φλεγματικοὺς καὶ τοὺς παιδοποιεῖν προθυμουμένους. ὡς γάρ φασιν, οὐ μόνον ἐλαττοῦσι τὴν τεκνογονίαν ἀλλὰ καὶ ἀφυῆ τὰ γεννώμενα ἐργάζονται. ἑψόμενα δὲ καὶ σὺν σησαμελαίῳ[11] χρώμενα ἰκτερικοῖς λυσιτελοῦσι. παρεικάζουσι[12] δὲ τὴν τούτων ψυχρότητα καὶ ὑγρότητα τῇ τῶν κρηναίων ὑδάτων. καὶ διὰ τοῦτο πάνυ ὠφέλιμά εἰσι πρὸς τοὺς διακαεῖς πυρετούς. λέγεται δὲ ὅτι καὶ τὴν ἐκ τῶν ὑδάτων ἐναλλαγῆς βλάβην μεταλαμβανόμενα ἀποτρέπουσιν. ὁ δὲ τούτων χυλὸς δηλητήριός ἐστι καὶ ἀναιρεῖ μεταλαμβανόμενος ἱκανῶς τοὺς[13] χρωμένους.

1) λυπο- B 2) ἀθυμίαν M 3) μαρούλια B M 4) ἃ κ. θ. κ. om H 5) θριδακῆναι C. 6) ἄψυχον B M 7) ὁμ. τοῖς λ. B ἄλλοις om M 8) om I K 9) τριφῆναι B 10) κ — φλεγ. om B M 11) σισ. B σαμελαίῳ C 12) παρακμάζουσι B 13) τ. χ. om B M

Περὶ μαλάχης.

Ἡ μαλάχη ψυχρά ἐστι καὶ ὑγρὰ κατὰ τὴν πρώτην ἀπόστασιν. ὑπέρχεται[1] δὲ ῥαδίως τὴν γαστέρα οὐ διὰ τὴν ὑγρότητα μόνον ἀλλὰ καὶ τὴν γλισχρότητα καὶ μάλιστα ὅταν μετ' ἐλαίου καὶ γάρου προσφέρηται, οἴνου ταύτῃ ἐπιρραινομένου ἐν τῷ τῆς ἐδωδῆς καιρῷ. ὠφελεῖ δὲ κύστιν καὶ θώρακα καὶ πνεύμονα καὶ τὴν βραγχώδη λεαίνει φωνήν. ἡ δὲ ἀγρία, ὥς φασιν, μαλάχη ἐσθιομένη ἀνωδύνους ποιεῖ τοὺς ὑπὸ[2] σφηκῶν ἢ μελίσσης δακνομένους[3]. εἰ[4] δὲ δηχθῇ τις ὑπὸ σφηκῶν ἢ μελισσῶν καὶ[5] ἀλείφῃ χύλῳ μαλάχης καὶ[6] μάλιστα τῆς ἀγρίας, εὐθὺς ἀνώδυνος γίνεται. ὡσαύτως[7] καὶ τοῖς ἀλγοῦσιν ὠσὶν ἐπισταζομένη ἀκεσώδυνος γίνεται. λέγεται δὲ ὡς καὶ τὸ ταύτης ἀπόζεμα πινόμενον τούς τε λίθους θρύπτει καὶ ὕπνον ἐπάγει καὶ εὐτοκίαν[8] αὕτη περιποιεῖται τῇ χρωμένῃ ταύτῃ γυναικὶ συνεχέστερον. καταπαύει τε τὰς φλεγμονὰς ἐπιπλασσομένη καὶ μαλάσσει τὰ ἐσκιρρωμένα. μάλιστα δὲ αὐτῆς ἐξαίρετον ἴδιον τὸ ἐπιτιθεμένον τοῖς δήγμασι τῶν τε σφηκῶν καὶ μελισσῶν ἀνωδυνίαν ἐργάζεσθαι.

Περὶ μελανθίου.

Τὸ μελάνθιον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τρίτην ἀπόστασιν. ἔστι δὲ λεπτομερὲς καὶ ἀναιρετικὸν τῶν ἐν τῇ γαστρὶ ἑλμίνθων καὶ πνευμάτων διαφορητικὸν καὶ φλέγματος τμητικόν, πρός τε ὀρθοπνοίας καὶ ῥευματισμοὺς λυσιτελεῖ ὀσφραινόμενον

1) ἐπερχ. B M 2) ἀπὸ B C M 3) δηχθέντας C
4) εἰ — μελισσῶν om B M 5) κἂν B 6) κ. μ. τ. om C M
7) ὡσαύτως — γίνεται om I K M post ἐσκιρρωμένα inseruit I 8) εὐγονίαν corr B M

καὶ μάλιστα μετὰ τὸ θερμανθῆναι. λέγεται δὲ ὡς καὶ λειοτριβούμενον καὶ σὺν ὄξει τῇ γαστρὶ ἐπιτιθέμενον ἀναιρεῖ καὶ οὕτως τὰς[1] ἕλμινθας, καὶ ὡς μέλιτι συνζυμούμενον καὶ θερμῷ ὕδατι μεταλαμβανόμενον τήκει τοὺς ἐν τοῖς νεφροῖς καὶ τῇ κύστει λίθους καὶ διουρητικὸν γίνεται καὶ καταμηνίων ἀγωγόν, καὶ ὡς ἀντιφάρμακον πρὸς τὰ δηλητήριά ἐστιν, εἴ τις αὐτοῦ νῆστις μεταλήψεται.

Περὶ μελισσοφύλλου.

Τὸ μελισσόφυλλον θερμόν ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν. ὠφελεῖ δὲ πρὸς τοὺς διὰ ψύξιν καρδιωγμοὺς[2] καὶ τὰς ἀπὸ μελαίνης χολῆς δυσθυμίας καὶ τοὺς ἐξ αὐτῆς ἀποτελουμένους[3] ἀλογίστους φόβους, εὐθυμίαν τε περιποιεῖται καὶ[4] πρὸς τὸν μελαγχωλικὸν χυμὸν καὶ τὸ φλέγμα λυσιτελεῖ. λέγεται δὲ ὡς καὶ ἀγχίνοιαν[5] περιποιεῖται, καὶ ὡς πρὸ τοῦ ὕπνου λαμβανόμενον εὐόνειρον γίνεται, ἐναντίως τῇ κράμβῃ· δυσόνειρος γὰρ ἐκείνη ἐστίν. βλάπτει δὲ τοὺς βουβῶνας, σκευάζεται δὲ δι'[6] αὐτοῦ ζουλάπιον πάνυ πρὸς τὰ μελαγχολικὰ πάθη καὶ τὰς ἐξ αὐτῶν δυσθυμίας ὠφέλιμον.

Περὶ μόσχου.

Τοῦ μόσχου διάφορα εἴδη ἐστίν, ὧν ὁ κρείττων γίνεται ἐν πόλει τινὶ τοῦ[7] Χοράσῃ[8] ἀνατολικωτέρᾳ λεγομένῃ Τουπάτ[9]. ἔστι δὲ τὴν χροίαν ὑπόξανθος. τούτου δὲ ἥττων ὁ ἀπὸ τῆς Ἰνδίας μετακομιζόμενος. ῥέπει δὲ ἐπὶ τὸ μελάντερον καὶ τούτου πάλιν ὑπο-

1) τοὺς I 2) καρδιακοὺς K 3) ἀπογεννωμένους B M 4) καὶ — περιποιεῖται om K 5) ἀγχείνοιον B 6) διὰ τοῦ ζουλαπίου K 7) πολὺ τοῦ 8) χωροσὰν C 9) τουπάτα I F τοῦπατ B M τούταπ C

δεέστερος ὁ ἀπὸ τῶν Σινῶν ἀγόμενος. πάντες δ' ἐν ὀμφάλῳ ἀπογεννῶνται ζῴου τινὸς μονοκέρωτος[1] μεγίστου ὁμοίου δορκάδι[2]. οἰστρομανοῦν[3] γὰρ τὸ τοιοῦτον ζῷον ἐξογκοῦται τὸν[4] ὀμφαλὸν παχυμεροῦς αἵματος ἐν τούτῳ συναγομένου, καὶ τηνικαῦτα νομῆς καὶ ποτοῦ ἀπεχόμενον[5] κυλίεται ἐπὶ γῆς καὶ ἀποβάλλει τὸν ὀμφαλὸν αἵματος πλήρη βορβορώδους, ὅπερ πηγνύμενον μετά τινα καιρὸν ἱκανὸν ἐπικτᾶται εὐωδίαν. ἔστι δὲ ὁ μόσχος θερμὸς καὶ ξηρὸς κατὰ τὴν τρίτην ἀπόστασιν καὶ λεπτομερής. τονοῖ δὲ τὰ ἀσθενῆ μόρια καὶ τὴν κεφαλὴν ψυχράν, βλάπτει δὲ τὴν θερμήν. ἐπιτήδειος δέ ἐστι πρὸς ἀνάκλησιν λειποθυμούντων καὶ τὴν δύναμιν ἐκλελυμένων καὶ πρὸς τὰ καρδιακὰ πάθη. ῥώννυσι γὰρ τὴν καρδίαν, πλὴν ὠχρότητα τοῦ σώματος ἐμποιεῖ. δοκιμάζουσι δὲ τοῦτον τινὲς εἰ[6] ἀνόθευτός ἐστιν· οὕτως ἐν καθυγρασμένῃ λεκάνῃ ἢ χερνίβῃ[7]. μετὰ τὸ σταθμῆσαι τιθέασιν αὐτόν, εἶτα πάλιν σταθμῶσι καὶ εἰ μὲν τῷ σταθμῷ ὑπερέξει, ἀνόθευτον αὐτὸν ἡγοῦνται, εἰ δὲ μή, νενοθευμένον αὐτὸν λογίζονται[8].

Περὶ μαράθρου[9].

Τὸ μάραθρον θερμαίνει κατὰ τὴν τρίτην τάξιν ἐκλελυμένην[10], ξηραίνει δὲ κατὰ τὴν πρώτην. γάλακτος δέ ἐστι γεννητικὸν καὶ ἀποφρακτικὸν[11] καὶ διουρητικὸν τῶν[12] ἐν τῷ ἥπατι καὶ σπληνὶ καὶ κύστει ἐμφράξεων καὶ καταμηνίων ἀγωγόν, καὶ[13] αὐθημερινοὺς[14] πυρετοὺς λυσιτελεῖ. βοηθεῖ δὲ καὶ τοῖς

1) μονοκερώτου M 2) δορκάδος I C F 3) οἰστρομανὲς K 4) ὁ ὀμφαλὸς I 5) ἀπέχεται K 6) εἰ ἀ. ἐ. om M K 7) χέρνιβι C B M χερνίβῳ I F 8) αὐ. λ. om B M K 9) μαλάθρου B „desunt multa apud Bogd“ Velsch. 10) ἐκλελυμένον I 11) κ. ἀ. om M 12) τῶν — ἐμφρ. om M 13) καὶ — χολὴν om M 14) ἀφημερινοὺς B

ὑποχεομένοις τοὺς ὀφθαλμούς. διηνεκῶς δὲ μεταλαμβανόμενον ξανθὴν ἀπογεννᾷ χολήν[1]. ἔστι δὲ καὶ ἕτερον μάραθρον ἄγριον[2], ὃ καλοῦσι διὰ τὸ μέγεθος ἱππομάραθρον, οὗ ἡ ῥίζα καὶ τὸ σπέρμα ξηραντικώτερόν ἐστι τῇ δυνάμει ἢ κατὰ τὸ ἥμερον, ὥστε δοκοῦσί μοι τὴν γαστέρα κατὰ τοῦθ' ἱστάναι. οὐ γὰρ δὴ στύψεώς γέ τινος σαφοῦς αὐτῷ μέτεστιν.

Περὶ μήκωνος[3].

Ἡ μήκων[4] ψυχρά ἐστι καὶ ξηρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν. κρείττων δὲ τῆς μελαίνης ἡ λευκή. ἔστι δὲ ὑπνοποιός, δύσπεπτός τε καὶ ὀλιγότροφος, σὺν δὲ μέλιτι μεταλαμβανομένη τῇ γονῇ προστίθησιν. ὠφελεῖ τε τὸν θώρακα καὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ πρὸς βῆχας καὶ τὴν γαστέρα ἐπέχει, εἰ καί τινες ψευδῶς ἐδόξασαν ταύτην προτρέπειν αὐτῇ τῇ ἐνεργείᾳ ἐναντιούμενοι[5]. βλάπτει δὲ τὴν κεφαλὴν καὶ κατακόρως χρωμένη καρηβαρίαν ἐμποιεῖ· τινὲς δὲ συντρίβοντες ταύτην ἐπιτιθέασι τῷ τῶν ἀγρυπνούντων μετώπῳ διὰ τὸ ταύτης ὑπνοποιόν. ἡ δὲ μέλαινα ψυχροτέρα καὶ πλεῖον ὑπνοποιος, ὥστε εἰ ταύτης τις μεταλάβῃ ἀμέτρως, ὕπνῳ βαθεῖ[6] κατάφορος γίνεται· ὁμοίως τοῖς ληθαργικοῖς[7]. σὺν ῥοδίνῳ δὲ τῇ κεφαλῇ ἐπιτιθεμένη τὰς ἀπὸ θερμότητος ἰᾶται κεφαλαλγίας. λέγεται δὲ ὡς σὺν γυναικείῳ γάλακτι καὶ κρόκῳ καταπλασσομένη τοὺς ποδαγρικοὺς[8] ὀνίνησιν. ὁ δὲ ταύτης ὀπὸς δηλητήριόν ἐστι, τῆς δὲ μελαίνης ὁ χυμός[9] ἐστι τὸ λεγόμενον ὄπιον.

1) finis capp. in B 2) ἀγρ. — ἱππομ. om H 3) „titulus est: μήκων ἡ λεγομένη κωδία capitis initium est: ψυχρὰ" H 4) addit I K (ἡ λεγομένη κώδια) om C M 5) ἐναντιουμένη B 6) βαρεῖ B ὕπνος βαθὺς καὶ K 7) λιθ. B 8) ποδαλγικούς B M 9) χυλός I K

Περὶ μέλιτος.

Τὸ μέλι θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν, λεπτομερές τε καὶ ῥυπτικόν. ἔχει δέ τι δριμύ, δι᾽ οὗ πρὸς ἔκρισιν ἐπεγείρει τὴν γαστέρα. διουρητικώτερον δὲ γίνεται καὶ εὐαναδοτώτερον καὶ τὴν γαστέρα οὐ προτρέπει, εἰ μιχθὲν[1] ἐν ὕδατι πλείστῳ ἑψηθῇ, (ἄχρις ὅτου τελέως ἀπαφρισθῇ) ἀφαιρουμένου συνεχῶς δηλονότι τοῦ ἀφροῦ. γέρουσι μὲν οὖν καὶ ὅλως ταῖς ψυχραῖς κράσεσι τὸ μέλι ἐπιτήδειον, τοῖς δὲ ἀκμάζουσι καὶ θερμοῖς ἐκχολοῦται. ἑψηθὲν δὲ καθ᾽ αὑτὸ ἧττον γίνεται δριμύ, ὅθεν καὶ μᾶλλον τρέφει, καὶ εἰς τὰς τῶν κόλπων κολλήσεις[2] λυσιτελεῖ. ἄριστον δὲ μέλι τὸ ἡδὺ καὶ δριμὺ καὶ ξανθὸν καὶ σύμμετρον τῷ τε πάχει καὶ τῇ λεπτότητι. κρεῖττον δὲ τὸ ἐαρινόν. τὸ δὲ χειμερινὸν ἄχρηστον. ἔστι δὲ καὶ εὐαλλοίωτον εἰς τὴν ξανθὴν χολὴν καὶ μάλιστα ἐν ταῖς θερμοτέραις κοιλίαις. καθαίρει[3] τοῦ ῥύπου τὸ σῶμα καὶ ἄσηπτα διατηρεῖ τὰ σὺν τούτῳ ἐμβαλλόμενα πάντα, καὶ διὰ τοῦτο οἱ ἀρχαῖοι τοὺς νεκροὺς μέλιτι ἐκάλυπτον ἐν ταῖς θήκαις. ὠφελεῖ δὲ καὶ ἐπιλήπτους ὑπὲρ τὸν οἶνον διὰ τὸ μὴ ἀναδίδοσθαι εἰς τὴν κεφαλὴν ὡς[4] οὗτος, διεγείρει τε τὴν ὄρεξιν τῶν διὰ φλεγματικὸν ἀνορεκτούντων χυμόν. τέμνει δὲ τὰ παχυμερῆ πτύελα καὶ ἀνάγει ταῦτα. τὰ δὲ διὰ μέλιτος σκευαζόμενα εἴδη δύσπεπτά εἰσι καὶ μὴ καλῶς πεττόμενα ἐμφράξεις τῷ ἥπατι καὶ τῷ σπληνὶ ἐμποιοῦσι. κατακόρως δὲ καὶ[5] διηνεκῶς τὸ μέλι προσφερόμενον[6] ψώραν ἐργάζεται.

1) μήγε B 2) κοιλίας K 3) κ. δὲ ὁ τούτου ῥύπος τ. σ. K H κ. δὲ τὸν ῥύπον τοῦ σώματος I F 4) ὠφελεῖ καὶ ὡσαύτως εἰς τὸ διεγεῖραι τὴν ὄρεξιν κτλ. K 5) κ. δ. om B M 6) ἐσθιόμενον B M

Περὶ ματιτανίου[1].

Τὸ[2] ματιτάνιον παρὰ τῷ Γαληνῷ στρύχνος κηπευτὸς ὀνομάζεται. ἔστι δὲ θερμὸν καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν. ἀπογεννᾷ δὲ χυμὸν μελαγχολικόν. συνεχῶς δὲ χρώμενον ἄχροιαν[3] ἐμποιεῖ καὶ πάθη μελαγχολικά· μετὰ δὲ ὄξους προσφερόμενον ἀποφρακτικὸν γίνεται. δεῖ δὲ τοῦτο προεψῆσαι. διὰ[4] γὰρ τὸ πολὺ τῆς ἑψήσεως τὸ πολὺ τῆς ἐν αὐτῷ κακοχυμίας ἀποβάλλει.

Περὶ τῶν μυρσινοκόκκων.

Τὰ μυρσινόκοκκα ψυχρά ἐστι καὶ ξηρὰ κατὰ τὴν πρώτην[5] ἀπόστασιν. ὠφελεῖ δὲ τοὺς αἱμοπτοϊκοὺς καὶ τοὺς σκορπιοδήκτους καὶ πρὸς γαστρόρροιαν. ἐπέχει γὰρ ἰσχυρῶς[6]. βλάπτει δὲ τὴν κύστιν. τὰ δὲ λευκὰ καὶ γλυκέα μετέχουσί τινος θερμότητος. πάντα δὲ τὴν γαστέρα ἐπέχει καὶ κωλύει τὰς θερμὰς καὶ ὑγρὰς ἀναθυμιάσεις. δρᾷ[7] δὲ τὸ αὐτὸ καὶ τοῦ φυτοῦ τὰ φύλλα ὀσφραινόμενα καὶ τῇ κεφαλῇ ἐπιτιθέμενα. ὠφελοῦσι δὲ καὶ πρὸς τὰς ἀπὸ[8] θερμότητος ὀδονταλγίας, εἰ τῷ ἀφεψήματι[9] αὐτῶν ἔτι θερμῷ ὄντι κλύσει[10] τις τὸ στόμα. πρὸς δὲ τὸ συνέχειν τρίχας ἐκπιπτούσας λυσιτελοῦσιν οἱ κόκκοι ἅμα κηκιδίων[11] μετὰ τὸ λεανθῆναι σὺν ἐλαίῳ τῇ κεφαλῇ ἐπιτιθέμενοι. τοὺς δὲ ὑπὸ[12] ἐχίδνης ἢ[13] ὄφεως

1) μαζιζάνιον I F περὶ μαντζιντζανίου B C M ματιζανίον H 2) τὸ — ὀνομ. om K I qui habent: τὸ λεγόμενον μ. θερμόν ἐστι κτλ 3) ὠχρίασιν I C F 4) διὰ τὸ ἀπὸ τοῦ πολλοῦ τῆς ἑψ. τὴν ἐν αὐτοῖς κακοχυμίαν ἀποβάλλειν B M διὰ γὰρ τῆς ἑψ. τὸ πολὺ τῆς ἐν C 5) δευτέραν B 6) ἱκανῶς H K 7) διὰ I C F 8) ἐκ I 9) ἐφ. B
σει
10) διακλύσει I F κλυσσει B κλύσσει M 11) κικιδίῳ B κηκίδων K 12) ἀπὸ M 13) ἢ ἑτέρας ὀ. C

δηχθέντας ὀνίνησιν ὁ τῶν φύλλων χυλὸς μέχρις ἡμιλίτρου μεταλαμβανόμενος. φησὶ δὲ Δημόκριτος, ὥς τινα φυσικὴν συμπάθειαν ἔχει ἡ μυρσίνη πρὸς τὴν ῥοιάν. φυτευόμεναι γὰρ πλησίον ἀλλήλων εὐφορώταται γίνονται. περιπλέκονται δ' ἀλλήλαις[1] αἱ ῥίζαι, κἂν[2] μὴ πάνυ ἐγγὺς ὦσιν.

Περὶ μαστίχης.

Ἡ μαστίχη θερμή ἐστι μετά τινος ὑγρότητος, ὠφελεῖ δὲ τοὺς ὑπὸ[3] γλίσχρου φλέγματος βλαπτομένους. κενοῖ δὲ φλέγμα, εἴ τις αὐτῆς[4] ἄχρις ἐξαγίων τεσσάρων μεταλήψεται καὶ ἴσα δύναται καθαρσίῳ[5]. λυσιτελεῖ δὲ πρὸς στομάχους ψυχροὺς οὐ μόνον ἔνδον μεταλαμβανομένη ἀλλὰ καὶ ἔξωθεν ἐπιτιθεμένη[6]. ὡσαύτως καὶ τὸ ἐξ αὐτῆς σκευαζόμενον ἔλαιον.

Μέσπιλα[7].

Τὰ[8] μὲν πέπειρα μέσπιλα μετέχουσί τινος θερμότητος, τὰ δὲ ἄωρα ψυχρὰ καὶ στυφώδη καὶ γαστρὸς ἐφεκτικά.

Ἀρχὴ τοῦ ν.

Περὶ νησσῶν.

Αἱ[9] τῶν νησσῶν σάρκες θερμότεραί εἰσι πάντων[10] τῶν κατοικιδίων πτηνῶν. ὑπάρχουσι δὲ παχύχυμοι. σὺν δὲ τῷ οἰκείῳ στέατι μεταλαμβανόμεναι[11] καταπαύουσι τὰς ἐν τῇ γαστρὶ ὀδύνας τὰς ἀπὸ τοῦ λεπτοῦ περιττώματος, πρὸς[12] δὲ καὶ τὰς ἐν τῇ

1) om M ἀμφοῖν K 2) om C 3) ἀπὸ B 4) αὐτῇ I 5) καθαρσίων K 6) ἐπιπλασσομένη I K 7) περὶ μεσπήλων C 8) τὰ μέσπηλα τὰ μὲν πέπυρα C 9) ἡ — σὰρξ B 10) πασῶν B 11) λαμβ. B καταλαμβ. C 12) πρ. δὲ om B

μήτρᾳ. ὠφελοῦσι δὲ καὶ πρὸς τὰς δι'[1] ἀσθένειαν τοῦ ἥπατος γαστρορροίας, καὶ μάλιστα τὸ ἧπαρ αὐτῶν[2]. φασὶ δὲ καὶ ὡς εὔχροιαν περιποιοῦνται καὶ τὴν φωνὴν καθαίρουσι καὶ εὐεξίαν σώματος καὶ δύναμιν καλῶς πεφθεῖσαι[3] ἐργάζονται. δύσπεπτοι δέ εἰσι καὶ ἐκτρωματικαί. τὸ δὲ στέαρ αὐτῶν θερμόν ἐστι καὶ λεπτομερές. ἰᾶται δὲ τὰς ἔνδον τοῦ σώματος δήξεις. ὁ[4] δὲ Πέρσης φησί, μὴ εἶναι ἕτερον στέαρ ἢ λεπτομερέστερον ἢ διαφορητικώτερον ἢ μαλακτικώτερον.

Περὶ τοῦ νέτ.

Τὸ λεγόμενον νὲτ θερμόν ἐστι καὶ ξηρόν, ὠφελεῖ δὲ τὰς ψυχρὰς καὶ ὑγρὰς κεφαλὰς θυμιώμενον, καὶ ῥώννυσι ταύτας καὶ τὴν καρδίαν, καὶ ἁπλῶς εἰπεῖν τὰς[5] ἐξ ὧν συνετέθη δυνάμεις ἐνεργεῖ. σύγκειται δὲ ἔκ τε μόσχου καὶ ἄμπαρος καὶ ξυλαλόης ἰνδικῆς[6].

Περὶ ναρκίσσου.

Ὁ[7] νάρκισσος ἀραιοτάτη[8] ἐστὶ πόα καὶ εὐωδεστάτη καὶ ἔν τισι τόποις ἐνταῦθα ἐν[9] Θρᾴκῃ γινόμενος. ἀγνοεῖται παρὰ τῶν πλείστων. τὸ[10] γὰρ στέλεχος αὐτοῦ σμαράγδῳ παρόμοιον τὴν χροίαν, αἱ δ' ἐπιφυλλίδες ἀργύρῳ διὰ τὴν λευκότητα, τὸ δὲ μέσον αὐτῶν χρυσοειδές. ἔστι δὲ θερμὸς καὶ ξηρὸς καὶ τῆς ἐν κεφαλῇ ὑγρότητος διαφορητικός. λέγεται δὲ ὡς καὶ τῶν ῥευματισμῶν διηνεκῶς ὀσφραινόμενος γίνεται ἀποτρεπτικός. ἡ δὲ τούτου ῥίζα ξηραντικὴν[11] ἔχει δύναμιν. συνουλοῖ τε τὰ τραύματα ἐπὶ

1) διὰ τοῦ ἥπ. ἀσθενεῖς γαστρ. I C 2) αὐτό B 3) πεμφθῆναι B 4) ὁ — μαλακτικώτερον om C 5) κατὰ τὰς τῶν ἁπλῶν ἐξῶν B. — I in margine habet: γρ. τῶν 6) om I C 7) ἡ B 8) ὡραιοτάτη C 9) ἐν Θ om B 10) ὁ B 11) ξηρανθεῖσα B

τοσοῦτον ὡς κολλᾶν καὶ μέχρι τῶν περὶ τοὺς τένοντας διακοπῶν. μέχρι δὲ δραχμῶν τριῶν λαμβανόμενος[1] ἔμετον σφοδρῶς κινεῖ.

Περὶ νυμφαίας.

Καὶ τούτῳ τῷ φυτῷ χρῶνται πολλοὶ[2] πρὸς ὄσφρησιν διὰ τὸ εὐῶδες, καὶ μάλιστα ἐν ταῖς θερμαῖς χώραις. ὠφελεῖ γὰρ τὰς θερμὰς καὶ ξηρὰς κεφαλὰς ὑγραῖνον ταύτας ὑπὲρ τὰ ἴα. καταπλασσόμενον[3] δὲ πάνυ λυσιτελεῖ πρὸς φλεγμονάς. ἐργάζονται δὲ διὰ τοῦ σταλάγματος αὐτοῦ τὸ λεγόμενον νυμφαιοζούλαπον[4], ἥδιστον[5] καὶ ὠφέλιμον πρὸς τὰ θερμὰ νοσήματα[6].

Ἀρχὴ τοῦ ξ.

Περὶ ξυλοκεράτων.

Ξυλοκέρατα[7], ἃ καὶ κεράτια[8] λέγονται, ὃ[9] μὲν Γαληνὸς διαβάλλει, εὐχόμενος μὴ μετακομίζεσθαι αὐτά, ἀφ' ὧν γίνονται τόπων, ὡς κακόχυμά τε καὶ ξυλώδη καὶ δύσπεπτα. οἱ δὲ νεώτεροι ῥωννύειν ταῦτα φασὶ τὸν στόμαχον μετὰ τὴν τροφὴν λαμβανόμενα καὶ ἐπέχειν ἰσχυρῶς τὰς γαστρορροίας αὐτὰ[10] πρὸ τῆς τροφῆς χρώμενα.

Ξιφίας.

Ξιφίας κακόχυμός ἐστι καὶ περιττωματικὸς καὶ δύσπεπτος καὶ ναυτιώδης, καὶ διὰ τοῦτο τελέως τῆς τούτου ἐδωδῆς ἀπέχεσθαι κρεῖττον. εἰ δέ τις αὐτοῦ[11]

1) μεταλαμβ. B 2) τινὲς B 3) καταπλασσομένη B 4) νυμφαιζούλαπον I C 5) ἡδὺ ὂν B 6) τῶν νοσημάτων B 7) τὰ ξυλόκερα B 8) κέρατα F H 9) ταῦτα ὁ K H 10) αὐτὰ seq. om B M μετὰ τ. τρ. χ. C 11) αὐτῷ I

ἐνίοτε θελήσει μεταλαβεῖν, δριμέσι τοῦτον[1] ἀρτύμασι θεραπευέτω καὶ οἶνον ἐπιπινέτω πάνυ παλαιὸν καὶ λεπτόν.

Περὶ ξυλαλόης.

Ἡ ξυλαλόη ξύλον ἐστὶ δένδρου, γίνεται δ' ἐν διαφόροις τόποις τῶν ἐῴων[2] ὁμοῦ καὶ νοτιωτέρων[3] μερῶν. καὶ ἕως μὲν ἄσηπτόν ἐστιν, οὐδεμίαν ἔχει διαφορὰν πρὸς τὰ λοιπὰ δένδρα κατὰ τὴν εὐωδίαν· σηπόμενον δὲ προσκτᾶται εὐωδίαν οὐ πάνυ μέντοι τελείαν, ἀλλὰ τέμνουσιν αὐτὸ τότε οἱ ἐγχώριοι καὶ κρύπτουσιν ὑπὸ γῆν πολλῷ χοΐ κατακαλύπτοντες, καὶ μετὰ χρόνον ἱκανὸν ἐκβάλλουσι τὰ ξύλα καὶ πωλοῦσι τοῖς ἐμπόροις. οἱ δὲ ἐν Αἰγύπτῳ καὶ ἐν ἑτέραις χώραις ξέουσι ταῦτα καὶ τὸν φλοιὸν ἀπορρύπτουσι[4] καὶ εἰδοποιοῦσιν οὑτωσί. ξυλαλοῶν δὲ διαφοραί εἰσι πλεῖσται[5]. ἡ ἰνδική, ἥτις ἐν Ἰνδίᾳ γίνεται· ἡ σαμφία[6], ἥτις ἐν Σάμφῃ γίνεται τῇ[7] πόλει· καὶ ἡ λεγομένη σπεῆτις[8], ἥτις[9] ὁμοία, διὰ τὸ μὴ εἶναι ταύτην κυρίως ξυλαλόην, ἀλλ' ὁμοίαν ξυλαλόῃ[10]· πρὸς δὲ καὶ ἡ ὑγρά, καὶ τῆς ὑγρᾶς πάλιν διαφοραί εἰσι τέσσαρες· περὶ ὧν περίεργον[11] ἄρτι διεξιέναι. εἰσὶ δὲ πᾶσαι θερμαὶ καὶ ξηραὶ καὶ τῆς γαστρὸς ἐφεκτικαὶ καὶ εὐστόμαχοι καὶ μάλιστα ἡ ὑγρὰ καὶ μετὰ ταύτην ἡ ἰνδική. αἱ δὲ λοιπαὶ ἧττον ῥώννυσί τε τὰ ἔνδον μόρια καὶ ἀποφράττουσι τὰς[12] ἐν τῷ ἥπατι ἐμφράξεις καὶ τήκουσι τὰς ἐν τῇ

1) τούτου I 2) ἑώων I 3) νοτίων C 4) ῥύπτουσι B 5) δέκα ὧν γνώριμος ἡ Ἰνδ. H K 6) σαπφία — Σαπφείᾳ B M ἐν Σάμφῃ τῇ πόλει γ. C 7) om B 8) $\overline{\text{σπε}}$ B C M σπέον I F 9) ἤτοι B ἤγουν H K 10) ἀλλ' ὁ. ξ. om I M K 11) πάρεργον ἀντιδιεξιέναι B M 12) τὰς — τήκουσι incl. om H K

γαστρὶ ὑγρότητας. καὶ τὰ λοιπὰ εἴδη θυμιώμενα συνεχῶς φθεῖρας ἀπογεννῶσι διὰ τὴν γλυκύτητα· μόνη δὲ ἡ ἰνδικὴ κωλύει τὴν τούτων γένεσιν διὰ τὴν δριμύτητα.

Ἀρχὴ τοῦ ο.

Περὶ ὀρύζης.

Ἡ ὄρυζα[1] θερμή ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηρὰ δὲ κατὰ τὴν δευτέραν. ἔστι δὲ τρόφιμος ἱκανῶς καὶ δύσπεπτος. καὶ ὁ μὲν Διοσκορίδης ἐπέχειν ταύτην φησὶ τὴν γαστέρα, ὁ δὲ Γαληνὸς λέγει ὡς τούτῳ τῷ σπέρματι χρῶνται πάντες εἰς ἐπίσχεσιν[2] γαστρὸς καὶ ὡς ἀλλοτρίαν παρεισάγων τὴν δόξαν καὶ ἀπαρεσκόμενος αὐτῇ. ἡ μὲν οὖν λευκὴ ὄρυζα μετρίως ἐπέχει, ἡ δὲ ἐρυθρὰ πλειόνως διὰ τὴν ξηρότητα. μετὰ δὲ γάλακτος κατασκευαζομένη καὶ[3] σὺν σακχάρῳ[4] μεταλαμβανομένη εὐεξίαν τε καὶ εὔχροιαν ποιεῖται[5] καὶ τῇ γονῇ προστίθησι.

Περὶ οἴνου.

Τῷ οἴνῳ χρῶνται τινὲς μὲν χάριν τῆς ἐκ τούτου ὠφελείας, οἱ δὲ διὰ τὸ τὴν ψυχὴν εὐφραίνειν[6], οἱ δὲ διὰ τὴν[7] ἐν τῇ γεύσει ἡδονήν, οἱ δὲ καὶ διὰ πάντα. καὶ ὁ μὲν νέος οἶνος θερμὸς κατὰ τὴν πρώτην ἀπόστασιν, ὁ δὲ πάνυ παλαιὸς κατὰ τὴν τρίτην· ὁ δὲ μέσος κατὰ τὴν δευτέραν. πέφυκε δὲ τῶν τρεφόντων τὸ σῶμα. καὶ ὁ μὲν ἐρυθρὸς καὶ παχὺς εἰς αἵματος γένεσιν[8] ἐπιτηδειότατος, βραχείας δεόμενος

1) ὀρύζα K I ὄριζα C 2) ἐπίχεσιν C ἐπίχυσιν M 3) κ. σ. σ. μ. om S 4) σαχάριτι B M σάχαρ C 5) περιποιεῖται I M K 6) εὐφρᾶναι I K 7) τὴν τῆς γεύσεως ἡ B 8) γέννησιν C

τῆς εἰς αὐτὸ μεταβολῆς. ἐφεξῆς δὲ τούτου ὁ μέλας καὶ γλυκὺς καὶ παχύς, εἶτα πρὸς τούτοις ὁ αὐστηρός, εἶτ'[1] ὁ κιρρός. ἧττον[2] δὲ ἁπάντων ὁ λευκὸς καὶ λεπτὸς καὶ αὐστηρὸς[3] τρέφει τὸ σῶμα. καὶ οἱ μὲν τῶν οἴνων παχεῖς τροφιμώτεροι τῶν λεπτῶν[4] καὶ δυσπεπτότεροι· οἱ δὲ λεπτοὶ[5] εὐαναδοτώτεροι καὶ διουρητικώτεροι[6]. πλὴν οἱ παχεῖς τῶν οἴνων σταλτικοί εἰσι τῆς γαστρός. καί τινες ἐξ αὐτῶν ἐμφράττουσι τὸ ἧπαρ καὶ τὸν σπλῆνα καὶ τοὺς νεφρούς. κἀντεῦθεν οἱ μὲν ὑδεριῶσιν[7], οἱ δὲ λιθιῶσι τῶν ἐπὶ πλέον αὐτοῖς χρωμένων καὶ μάλιστα γερόντων. τοῖς οὖν συμμέτροις τὴν κρᾶσιν σώμασιν ἐπιτήδειος ὁ τὴν χροίαν μὲν ἐρυθρὸς τῇ δὲ συστάσει λεπτὸς καὶ ὑπόστυφων ἠρέμα, τοῖς δὲ φλεγματικοῖς ὁ παλαιότερος καὶ λεπτὸς καὶ κιρρὸς καὶ εὐώδης καὶ ἁλυκός. οὐ μόνον δὲ τρέφει ὁ οἶνος ἀλλὰ καὶ τὰ μέγιστα συνεργεῖ περὶ τὴν ἀνάδοσιν τῆς τροφῆς, διεγείρει τε τὸ ἔμφυτον θερμὸν καὶ αὔξει. πολλοὶ δὲ τῶν χρωμένων αὐτῷ ξηροὶ τῷ σώματι ὄντες εἰς εὐεξίαν[8] μετέπεσον. ἐξαίρετον δὲ ἰδιότητα ἔχει τὸ διαπορθμεύειν τὴν τροφὴν ἐπὶ[9] τὰ μόρια, διαβιβάζων αὐτὴν[10] καὶ[11] διὰ τῶν στενωτάτων διόδων τῇ οἰκείᾳ λεπτομερίᾳ θερμαίνει[12] τε τὰ μόρια καὶ εὐεξίαν ποιεῖ καὶ οὖρα προτρέπει. δι' ὧν οὐκ ἐλαχίστη ποσότης περιττωμάτων ἐκκρίνεται. δήλη δέ ἐστι μᾶλλον ἡ τοῦ οἴνου ἐνέργεια ἐν τοῖς ψυχροῖς καὶ ξηροῖς σώμασι, καὶ ἐφ' ὧν ἔλαττόν ἐστι τὸ ἔμφυτον θερμόν, ὡς ἐπὶ γερόντων καὶ ἀνακομιζομένων. ὁ δὲ παλαιὸς οἶνος καὶ τὴν γαστέρα

1) εἶτ' ὁ κ. om B 2) ἧττων B 3) αὐτὸς δὲ B M 4) λοιπῶν B M 5) λοιποὶ B 6) τῶν λεπτῶν — διουρητ. om H 7) ὑδριῶσιν B 8) καχέξιαν corr I 9) ἐπὶ — 23 μόρια om C uncis incl. K 10) ταύτην B 11) om I 12) θερμ. — προτρέπει om B M

προτρέπει καὶ τὰς ἐμφράξεις ἀποφράττει καὶ ὠφέλιμός ἐστιν οἷς ἀθροίζεται φλεγματικὸς χυμὸς ἐν τοῖς[1] σώμασιν. ὁ δὲ νέος ἐμπνευματώσεις ποιεῖ καὶ δύσπεπτός ἐστι καὶ παχὺν ἀπογεννᾷ χυμὸν καὶ καρηβαρίας[2] καὶ κεφαλαλγίας ποιεῖ. δεῖ δὲ παρατηρεῖσθαι τὴν τῶν οἴνων χρῆσιν τοὺς θερμαινομένους καὶ πυρέττοντας. φησὶ γὰρ ὁ Γαληνὸς ἐν τῷ περὶ κράσεων, οἴνῳ δὲ ἴδιον ὑπάρχει τὸ τάχος τῆς μεταβολῆς ὡς δᾳδὶ[3] καὶ θρυαλλίδι[4] καὶ στυππείῳ καὶ πίττῃ. τοῦ[5] δὲ εὐφραίνειν τὴν ψυχὴν τινὲς μὲν αἰτίαν λέγουσι τὸ λεπτύνειν αὐτὸν τὸν μελαγχολικὸν χυμόν, οἱ δὲ τὸ[6] ἐξαπλοῦν καὶ εὔρουν[7] ποιεῖν τὸ αἷμα. τεκμαίρονται δὲ τοῦτο ἐκ τῶν διὰ πλῆθος αἵματος ἐν τῇ κεφαλῇ παραφρονούντων. ἔστι δὲ ἡ τούτων παραφροσύνη μετὰ γέλωτος. οὐ μόνον δὲ εἰς τὸ σῶμα δρᾷ, ὡς προείπομεν, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ ἀλλοιώσεις τινὰς ἐνδείκνυται[8] παραδόξους. εὐφραίνει γὰρ ταύτην καὶ εὔελπιν ἐργάζεται καὶ ἀνδρείαν καὶ εὐμετάδοτον. καὶ πολλοὺς ἄν τις δειλοὺς[9] ἴδῃ ἐπὶ τῇ τούτου πόσει θρασυνομένους καὶ[10] εὐθυμοῦντας[11] καὶ ἐλπίσιν ἀγαθαῖς τρεφομένους, καὶ φειδωλοὺς εὐμεταδότους γινομένους, καὶ σιωπηλοὺς καὶ νουνεχεῖς ἄμετρα διαλεγομένους, ὅπερ καὶ Ὅμηρος ἐδήλωσεν εἰπών· (ξ 463)

οἶνος γὰρ ἀνώγει
ἠλεὸς ὅς τ' ἐφέηκεν ἐχέφρονά περ μάλ' ἀεῖσαι
καὶ θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε
καί[12] τι ἔπος προέηκεν ὅπερ τ' ἄρρητον ἄμεινον.

1) τῷ σώματι I K 2) καρυβαρίαν B C 3) δαδίῳ I δάδδι B 4) om B 5) τὸ K περὶ τοῦ B 6) διὰ τὸ K B 7) εὔρεον K εὔροον B M 8) ἐργάζεται καὶ ἐνδ. I 9) δηλοὺς B M 10) καὶ — τρεφ. uncis incl. K 11) ἀθυμ. B M 12) hunc vers. om B K

Τινὲς δὲ καὶ φιλαλήθεις ἐπὶ τῷ πότῳ γίνονται. οἶνος γὰρ καὶ ἀλήθεια, φησὶ παροιμία τις. ἡ δὲ τούτου συνεχὴς καὶ ἄμετρος χρῆσις τὸν ζωτικὸν καταλύει τόνον καὶ τὸ ἔμφυτον καταβαπτίζει θερμόν, καὶ ἀποπληξίας πολλάκις ἐργάζεται καὶ ἐπιληψίας καὶ τρομώδη τοῦ σώματος διάθεσιν καὶ αὐτοῦ καθάπτεσθαι ποιεῖ τὴν βλάβην τοῦ ἡγεμονικοῦ. καὶ διὰ τοῦτο τῶν οὕτως χρωμένων αὐτῷ, αἵ τε αἰσθήσεις ἀχλυώδεις καὶ ἡ διάνοια οὐ καθαρά. καὶ[1] *ὁ ποιητὴς δὲ δηλῶν τὸ ἐν αὐτῷ ἐκλυτικὸν φησί·* (Z 264)

μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσῃς[2] *μένος δ' ἀλκῆς τε λάθωμαι.*

Περὶ ὄξους.

Περὶ τοῦ ὄξους πολλὴ ἀμφιβολία τοῖς ἀρχαίοις γέγονε. τῶν μὲν λεγόντων θερμὸν τοῦτο εἶναι διὰ τὴν λεπτομέρειαν, τῶν δὲ ψυχρὸν διὰ τὸ φανερῶς ψύχειν τὸ σῶμα μεταλαμβανόμενον· καὶ τέλος ἀπεδείχθη ψυχρὸν μὲν κατὰ τὴν πρώτην ἀπόστασιν[3]*, ξηρὸν δὲ κατὰ τὴν τρίτην. λυσιτελεῖ δὲ πρὸς τὴν ἐκ τῶν δηλητηρίων τῶν πηγνύντων τὸ αἷμα βλάβην οἷον ὀπίου καὶ κωνείου. ἀναλύει*[4] *τε τὸ πηγνύμενον γάλα ἐν τῇ γαστρὶ καὶ τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς λεπτύνει, ὠφέλιμόν τέ ἐστι πρὸς τὰς ἐκ θερμότητος ὀδονταλγίας διακλυζόμενον καὶ πρὸς τὰ ἐρυσιπέλατα ἀναχαιτίζον τὴν ἐπιρροὴν τῶν δριμέων χυμῶν. καταπαύει τε τὴν ἐκ θερμότητος καὶ ὑγρότητος δίψαν μεθ' ὕδατος λαμβανόμενον καὶ ἐπέχει τὴν τοῦ αἵματος ῥοήν. πρός τε τὴν δῆξιν τοῦ*

1) *καὶ — λάθωμαι* om C 2) *ὑπογνώσῃς* B M *ἀπογνώσῃς* *K* 3) *ἀπ. ἐπιτεταμένην* I K 4) *ἀναλύει — λεπτύνει* om C

λυσσῶντος κυνὸς[1] ὀνίνησιν ἐπιρραινόμενον καὶ πρὸς ἰκτεριῶντας ὀφθαλμοὺς ἐν βαλανείῳ ὀσφραινόμενον συνεχέστερον καὶ πρὸς δῆγμα σκορπίου θερμὸν τοῦτο ἐπιχεόμενον. καὶ πάνυ τοὺς θερμοὺς τὴν κρᾶσιν ὠφελεῖ καὶ σφοδρῶς τὴν ξανθὴν καταπαύει χολήν. βλάπτει δὲ τὰ νεῦρα διά τε τὸ ἄναιμα[2] εἶναι καὶ τὸ ἐν τῷ βάθει[3] αὐτῶν διεισδύνειν διὰ τὴν λεπτομέρειαν, ὡσαύτως καὶ τὰς ψυχρὰς καὶ μελαγχολικὰς κράσεις καὶ τοὺς ἀρθριτικούς. ἐκκόπτει τε τὴν τῶν ἀφροδισίων ὄρεξιν καὶ ἰσχαίνει τὸ σῶμα. δεῖ[4] δὲ τούτου ἀπέχεσθαι τοὺς ψυχροὺς καὶ ξηροὺς τὴν κρᾶσιν καὶ τοὺς ἀσθενῆ ἔχοντας τόν τε θώρακα καὶ τὸν πνεύμονα καὶ τὰ νεῦρα. εἰ δέ ποτε καὶ χρήσοιντο τούτῳ θεραπευέτωσαν τὴν ἐκ τούτου βλάβην μέλιτι ἢ γλυκυτάτοις ἐδέσμασι[5] καὶ[6] θερμοτάτοις ἀρτύμασι. βλάπτει δὲ καὶ τὴν ὄψιν. πρὸς δὲ τὰς ἐκ πυρὸς ἑλκώσεις εὐθὺς ἐπιτιθέμενον λυσιτελεῖ καὶ τὴν γαστέρα ἐπέχει καὶ τὴν τῆς τροφῆς ὄρεξιν διεγείρει. τοῖς τε νεαροῖς τραύμασιν ἐρίῳ ἐμβρεχόμενον καὶ ἐπιτιθέμενον κωλύει τὴν τούτων φλεγμονήν, καὶ ὁ τοῦ ζέοντος ἀτμὸς[7] πρὸς τὸν ἐν τοῖς ὠσὶν ἦχον καὶ τὰς βαρυκοΐας ἐπιτήδειός ἐστιν. ὠφελεῖ[8] δὲ τὸ ὄξος ταῖς φλεγμοναῖς ἐπιτιθέμενον καὶ τὰς τοῦ σώματος κνησμονὰς καταπαύει, καὶ τοῖς ψυχροῖς δήγμασι τῶν ἰοβόλων θερμὸν ἐπιρραινόμενον ὀνίνησι, ψυχρὸν δὲ τοῖς θερμοῖς. λέγεται δὲ ἰδιότητί[9] τινι καταπαύειν καὶ τὰς χρονίας βῆχας, τὰς δὲ ἐπιγινομένας ἐπιτείνειν. πρὸς δὲ τὴν φρενῖτιν νόσον καὶ τὰς τῆς κεφαλῆς φλεγμονὰς σὺν

1) om B 2) ἄναιμα αὐτὰ K 3) τὸ εἰς βάθη I καὶ τῷ ἐν βάθει K 4) δεῖ — κρᾶσιν om B M 5) ἐδεσ. κ. θερ. om C 6) ἢ B 7) ὁ τούτου ἀτ. ζέοντος K ὁ τούτου ἀτ. ζέων B 8) ὠφ. — ἐπιτ. uncis incl. K 9) ἰδ. τινι om B K μεταπαύειν K

ῥοδίνῳ ἐπαλειφόμενον οὐκ ἐλάχιστον ἄκος γίνεται, ὡσαύτως καὶ πρὸς τοὺς διψώδεις ὑδερικοὺς διὰ τὸ ἀπὸ θερμότητος καὶ ὑγρότητος[1] εἶναι τὴν δίψαν αὐτῶν.

Ὄρνιθες[2].

Ἡ τῶν ἀλεκτορίδων καὶ τῶν ὀρνιθοπούλων τῶν λεγομένων σὰρξ εὔπεπτός ἐστι καὶ εὔχυμος καὶ μάλιστα τῶν ἀρχομένων ᾠοτοκεῖν. δευτέρα δέ ἐστιν εἰς εὐχυμίαν μετὰ τὴν[3] τῶν ἀταγήνων. τρέφει δ' οὖν πλεῖον ἐκείνων καὶ μάλιστα εἰ πιμελώδης ἐστίν. ἡ τοιαύτη δὲ ὑγραίνει τὸ σῶμα, ὠφελεῖ δὲ τοὺς σφοδρῶς γυμναζομένους[4] καὶ εὔχροιαν περιποιεῖται, καὶ προστίθησι τῇ γονῇ καὶ τῇ τοῦ ἐγκεφάλου οὐσίᾳ καὶ μάλιστα ὁ τούτων μυελός. τρέφει γὰρ ἱκανῶς τὸν ἐγκέφαλον καὶ[5] διὰ τοῦτό φασι τοῖς κουφοτέροις[6] τὸν λογισμὸν[7] λυσιτελεῖν. οὐ δεῖ δὲ τὸν[8] ἀλεκτορίδων μεταλαμβάνοντα καὶ ὀξυγάλακτος εὐθὺς μετασχεῖν[9]. τετήρηται γὰρ κωλικὰς τὸ τοιοῦτον ἀπογεννᾶν νόσους. τὰ δὲ λεγόμενα ὀρνιθόπουλα[10] εὔπεπτά ἐστιν. ἀπογεννᾷ δὲ αἷμα σύμμετρον τῇ συστάσει μήτε πάνυ λεπτὸν μήτε πάνυ παχύ. λυσιτελοῦσι δὲ τοῖς ἀγυμνάστοις καὶ ταῖς ἐμφράξεσι συνεχέστερον ἁλισκομένοις. προτρέπουσι δὲ τὴν γαστέρα καὶ[11] ὠφελοῦσι τοὺς τὸν στόμαχον θερμαινομένους[12].

Περὶ ὀρτύγων.

Ἡ τῶν ὀρτύγων[13] σὰρξ θερμή ἐστι καὶ παχυμερὴς καὶ δύσπεπτος καὶ κακόχυμος. ἐπέχει δὲ τὴν γαστέρα.

1) *κ. ὑ.* om B 2) *περὶ ὀρνίθων ἤτοι ἀλεκτορίδων καὶ ὀρνιθοπώλων* K 3) *ταύτην ἡ* corr I C 4) *ἀγωνιζομένους* K 5) *καὶ — νόσους* om C 6) *κω-* I 7) *λ. τοῦτον* I 8) *τὸν* M 9) *μεταλαβεῖν* I 10) *ὀρνιθόπωλα* K 11) *κ. ὠ.* uncis incl. K 12) *ὑπερθερ.* C K 13) *τοιούτων πτηνῶν* K

ὁ δὲ ταύτης ζωμὸς προτρέπει ταύτην, καὶ διὰ τοῦτο λυσιτελεῖ τοῖς ὑπὸ κωλικοῦ νοσήματος ὀχλουμένοις. ἡ δὲ τῶν ὀρτύγων χολὴ πρὸς δακρύοντας ὀφθαλμοὺς ὀνίνησιν.

Περὶ ὀστρακοδέρμων.

Τὰ ὀστρακόδερμα πάντα ἁλυκὸν ἔχει χυμὸν ἐν τῇ σαρκί. ὑπάγουσι πάντα τὴν γαστέρα, ἀπογεννῶσι δὲ χυμὸν ὠμόν, καὶ τὰ πλεῖστα σκληρὰν ἔχει τὴν σάρκα. τούτων[1] κρείττονα τὰ λεγόμενα κτένια καὶ τὰ ὄστρεα διὰ τὸ μαλακωτέραν ἔχειν τὴν σάρκα τῶν ἄλλων ὀστρακοδέρμων. ἀλλὰ καὶ ταῦτα φλέγμα ἀπογεννᾷ, τὰ δὲ λεγόμενα ὀμύδια δύσχρηστα.

Ἀρχὴ τοῦ π.

Περὶ πεπέρεως.

Τὸ πέπερι θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τρίτην ἀπόστασιν, τμητικὸν δὲ τυγχάνει τῶν παχέων καὶ γλίσχρων χυμῶν καὶ πνευμάτων διαφορητικὸν καὶ πρὸς τὴν πέψιν συνεργὸν καὶ διουρητικόν. διασκεδάζει δὲ καὶ τὰς ἐν τῷ στήθει καὶ πνεύμονι καὶ[2] γαστρὶ ὑγρότητας. βλάπτει δὲ τοὺς νεφροὺς καὶ τῇ ὑστέρᾳ ἐπιτιθέμενον[3] μετὰ τὴν συνουσίαν ἐμποδίζει τὴν σύλληψιν καὶ ἄτοκον ποιεῖ[4] τὴν γυναῖκα. τινὲς δὲ αὐτὸ ἐν τῇ τετάρτῃ τεθείκασι[5] τάξει τῶν θερμαινόντων καὶ τῶν ξηραινόντων.

Περὶ πηγάνου.

Πήγανον τὸ μὲν ἄγριον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τετάρτην[6] ἀπόστασιν, τὸ δὲ ἥμερον κατὰ

1) σάκρα τούτων K 2) κ. τῇ B 3) ὑποτιθ. B M 4) π. τὸ τότε I 5)τέθεικαν K ἔθηκαν B M 6\ τρίτην K

τὴν τρίτην[1]. τέμνει δὲ[2] τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς καὶ δι' οὔρων κενοῖ καὶ πρὸς ἐμπνευματώσεις ἁρμόττει καὶ[3] τὴν πρὸς τὰ ἀφροδίσια προθυμίαν ἐπέχει καὶ ξηραίνει γενναίως. τοῦ[4] δὲ ἀγρίου πηγάνου ἡ[5] δύναμις διάπυρός ἐστι καὶ ἑλκωτικὴ καὶ μάλιστα κύστεως. καὶ διὰ τοῦτο οἱ ποδαγρικοὶ πίνοντες φάρμακον δι' ἀγρίου πηγάνου πονερῶς διατίθενται[6] τὴν κύστιν. εἰ δὲ μὴ ταύτην βλαβῶσι[7] κατὰ πολὺ ὠφελοῦνται. μίγνυσι δέ τινες τῷ τοιούτῳ φαρμάκῳ καὶ πήγανον ἥμερον ὡς ἧττον βλαβερὸν κύστεως. λυσιτελεῖ δὲ καὶ πρὸς τοὺς πνευματίας[8] ὑδέρους καὶ[9] τοὺς ἀσάρκους καὶ ὠφελεῖ τοὺς ὑπὸ ἐχίδνης δηχθέντας καὶ τοὺς μήκωνος ὀπὸν[10] ἢ ἀκόνιτον πίνοντας[11] καὶ τοὺς κωλικούς, πινόμενόν τε καὶ ἐνιέμενον. λέγεται δὲ καὶ[12] ὡς ὀξυδερκές ἐστιν ἐσθιόμενον, καὶ διὰ τοῦτο οἱ πρὶν ζώγραφοι συνεχῶς αὐτοῦ ἀπεγεύοντο, τινὲς δὲ καὶ τὸν τούτου χυλὸν μέλιτι μιγνύντες ὀξυωπὲς ποιοῦσι φάρμακον. βοηθεῖ[13] δὲ καὶ δυσουρίαις μετ' ἐλαίου ἑψόμενον καὶ δι' αὐτοῦ πυριωμένης[14] τῆς κύστεως καὶ ἐπὶ δυσπνοϊκῶν δοθὲν μετ' ὀξυμέλιτος εὐθὺς ὤνησεν. ἐπὶ δὲ ληθαργικῶν πινόμενον καὶ διὰ κλυστῆρος ἐνιέμενον ἴαμα γίνεται[15]. λύει δὲ καὶ τοὺς τῶν ἰσχίων πόνους τοὺς ἀπὸ[16] ψυχροῦ χυμοῦ πινόμενον καὶ καταπλασσόμενον. ἐπὶ δὲ τῶν ποδαγρικῶν[17] καὶ τῶν τὰ γόνατα ἀλγούντων διὰ φλεγματικὸν χυμὸν ταχὺ

1) δευτέραν K 2) τοινῦν B 3) κ. πρὸς τ. ἀ. προθυμίας ἐκκόπτει B C 4) ἀπὸ τοῦ B 5) ἡ — πονερῶς om B M 6) διάκεινται C 7) βλάσι K 8) πνευματείας B M 9) κ. τοὺς ἀνὰ σάρκα I H K κατασάρκα C 10) ποτὸν M 11) πιόντας B C 12) κ. ὀξυδερκίαν ποιεῖν ἐσθιομ. I F 13) βοηθεῖ usq. ad fin. desunt in C 14) πυρουμένης I πυριωμένους B 15) γέγονεν K 16) ἀπὸ ψυχρότητος B M 17) ποδαλγικῶν B M

ὀνίνησι καὶ τὰς ὀδύνας πραΰνει, ἐσχάρας τε τὰς ἀπὸ ἀνθράκων ταχὺ ἀφίστησι καταπλασσόμενον μετὰ μέλιτος ἢ σταφίδων[1]. *τονοῖ δὲ τὰ ἔντερα οὐ θερμότητι δὲ μόνον ἀλλὰ καὶ ἰδιότητί τινι ἰσχιαδικοὺς*[2] *ὀνίνησιν. ἔστι δὲ καὶ ἀποφρακτικὸν τῶν ἐν τῷ ἥπατι καὶ τῷ σπληνὶ ἐμφράξεων. δεῖ δὲ τοὺς ξανθηχόλους τούτου ἀπέχεσθαι· θερμαίνει γὰρ τοὺς τοιούτους καὶ ἀναλύει τὸ λεπτὸν αἷμα καὶ καταλείπει*[3] *τὸ παχὺ καὶ ποιεῖ τοῦτο μελαγχολικόν. λέγεται δὲ ὡς εἰ ἐκ τοῦ χολοῦ αὐτοῦ πίει ἔγκυος γυνὴ ἐκτιτρώσκει, καὶ εἰ ἐπὶ ἡμέραις πεντεκαίδεκα*[4] *τῶν φύλλων αὐτοῦ μεταλάβῃ ὁμοίως ποιεῖ, καὶ ὡς εἰ νῆστις αὐτοῦ τις μεταλάβῃ τῇ ἡμέρᾳ ἐκείνῃ ὑπὸ δηλητηρίου οὐ βλαβήσεται*[5].

Περὶ παγούρων[6].

Παγούρια[7] *ἤτοι καρκίνοι ἔχουσί τινα ἁλυκὸν χυμὸν ἥττονα μέντοι τῶν ὀστρακοδέρμων. ἐπέχουσι δὲ τὴν γαστέρα μετὰ τὸ ἀποθεῖναι ἐν τῷ ὕδατι τὸν ἁλυκὸν χυμὸν διὰ τῆς ἑψήσεως. οἱ δὲ ποτάμιοι ὠφελοῦσι πρὸς τὴν ἐν τῷ πνεύμονι πληγήν, βλάπτουσι δὲ τὴν κύστιν. φησὶ*[8] *δὲ ὁ λογιώτατος Κώνστανς ὁ λεγόμενος Ῥωμαῖος, ὡς εἰ ἑψηθῶσιν οἱ ποτάμιοι καρκίνοι ἐν ἐλαίῳ, πάνυ ὀνησιφόρον γίνεται τὸ ἔλαιον ἐπισταζόμενον ὠσὶ περιαλγοῦσιν*[9] *ἐκ θερμότητος. ὠφελοῦσι δὲ μεταλαμβανόμενοι καὶ τοὺς δυσφοροῦντας διὰ δηλητηρίου πόσιν ἢ δῆξιν ἰοβόλου. λέγεται*[10] *δὲ ὡς ξηραινόμενοι καὶ λειοτριβούμενοι καὶ τοῖς σκληροῖς ἀποστήμασιν ἐπιτιθέμενοι*

1) *ἀσταφίδων* I F 2) *καρδιακοὺς* K 3) *καταπαύει* M 4) *δέκα πέντε* B M 5) *βλαβηθήσεται* K 6) *παγούρια* I 7) *οἱ κ. ἐχ.* K 8) *φησὶ — θερμότητος* om C 9) *περιαλγέσιν* K 10) *λέγεται — σώματος* om C

μαλάσσουσι ταῦτα, ἐκβάλλουσι δὲ καὶ τὰς τῶν βελῶν ἀκίδας ἐκ[1] τοῦ σώματος.

Πέπων[2].

Ὁ πέπων ψυχρός ἐστι καὶ ὑγρὸς κατὰ τὴν δευτέραν ἀπόστασιν, ἧττον δὲ ψυχρὸς ὁ γλυκύς. ἔστι δὲ ὁ πεπεμμένος λεπτομερεστέρας οὐσίας, ῥυπτικῆς τε καὶ τμητικῆς μετείληφε δυνάμεως, ὅθεν διουρητικός ἐστι καὶ λαμπρύνει τὸ σῶμα, καὶ μᾶλλον εἰ ξηράνας τις τὸ σπέρμα καὶ κόψας καὶ σείσας[3] *μίγματι*[4] *χρήσοιτο· τοῦτο γὰρ καὶ ῥύπτει πλέον, ὥστε καὶ πρὸς λιθιῶντας ἁρμόττειν νεφρούς. μοχθηρὸν δὲ χυμὸν ἀπογεννᾷ ὁ πέπων ἐν τῷ σώματι, καὶ μᾶλλον ὅταν μὴ καλῶς πεφθῇ. δεῖ δὲ τοῦτον πρὸ τῆς ἄλλης τροφῆς ἐσθίειν καὶ τοὺς μὲν φλεγματικοὺς οἶνον τούτῳ παλαιὸν ἐπιπίνειν, τοὺς δὲ ξανθηχόλους ὀξώδη προσφέρεσθαι τροφήν, πάντας δὲ μετὰ τοῦτο εὐχύμου μεταλαμβάνειν τροφῆς. ἡ γὰρ τοιαύτη ἀποτρέπει τὴν ἐξ αὐτοῦ βλάβην. ἔστι δὲ εὐαλλοίωτος καὶ εἴτε φλέγματι*[5] *περιτύχῃ εἴτε ξανθῇ χολῇ*[6]*, εὐθὺς ἀλλοιοῦται εἰς ταῦτα. καὶ τοὺς μὲν ξανθηχόλους ὁ πάνυ γλυκὺς βλάπτει, τοὺς δὲ φλεγματικοὺς ὁ μὴ πάνυ πέπειρος. εὐπεπτότερος δέ ἐστιν ὁ γλυκύς. ὅσοι δὲ θερμὴν ἔχουσι τὴν γαστέρα καὶ ξανθηχόλοι τυγχάνουσι, βλάπτονται ἐπιπίνοντες οἶνον τούτῳ. αὐτὸς γὰρ εὐανάδοτος καὶ ὁ οἶνος ἐπὶ τὸ πλεῖον ἀναδίδοσθαι τοῦτον παρασκευάζει καὶ δριμύτερον τὸν ἐξ αὐτοῦ ἀπεργάζεται χυμὸν ἐν τοῖς τοιούτοις σώμασιν. ἔστι καὶ ναυτιώδης, λεπτύνει δὲ καὶ τοὺς*

1) *ἐκ τ. σ.* om K 2) *περὶ τῶν πεπόνων* C 3) *σήσας* K 4) *σμήματι* K *σμίγματι* C 5) *φλέγματα τύχοι* K 6) *ξανθὴν χολήν* K

παχεῖς καὶ γλίσχρους χυμούς. δεῖ δὲ πρὸ τούτοις τοὺς μὲν φλεγματικοὺς τὸν χαῦνον τῆς ἐν αὐτῷ προσφέρεσθαι οὐσίας, ἤτοι[1] τὸ πρὸς τῷ σπέρματι, τοὺς δὲ ξανθηχόλους καὶ μέχρι τῆς δερματίδος κατ-αντᾶν διὰ τὸ[2] μὴ εὐαλλοίωτον εἶναι τὸ παρακείμε-νον αὐτῇ. τοὺς δὲ τοιούτου[3] πεινῶντας· οὐ δεῖ τούτοις[4] μετασχεῖν καὶ μὴ εὐθὺς ἑτέρᾳ χρῆσθαι τρο-φῇ· ἀλλοιωθήσεται γάρ. τοὺς δὲ λιθιῶντας φασὶ μὴ δεῖν εὐθὺς προσφέρεσθαι ἄρτον, διὰ τὸ μὴ δια-βιβασθῆναι τὴν γλισχρότητα τούτου ἐπὶ τοὺς νε-φροὺς καὶ μάλιστα εἰ μὴ καλῶς εἴη ἐξυμωμένος. προκρίνουσι δὲ τοὺς μακροτέρους πέπωνας τῶν στρογγύλων ὡς διουρητικοὺς καὶ ῥυπτικωτέρους. εἰσὶ δὲ πάντες προτρεπτικοὶ τῆς γαστρός· καὶ οἷς ἡ γαστὴρ ὑπὸ τούτων πλεῖον ὑπάγεται, οὗτοι ἧττον βλάπτονται. λέγεται δὲ καὶ ὡς τὴν πρὸς τὰ ἀφρο-δίσια ὄρεξιν καὶ τὴν γονὴν ἐλαττοῦσιν. ὁ δὲ λεγό-μενος σαρακηνικὸς πέπων ψυχρός ἐστι καὶ ὑγρὸς καὶ ὠφέλιμος εἴς τε τοὺς καύσους πυρετοὺς καὶ τοὺς ἀκριβεῖς τριταίους καὶ τὰς θερμὰς γαστέρας. τοῖς δὲ τὴν κρᾶσιν ψυχροῖς καὶ τὸν στόμαχον ὑγροῖς πάνυ βλαβερὸς καθέστηκεν.

Περὶ περδίκων.

Ἡ τῶν περδίκων σὰρξ εὔπεπτός ἐστι καὶ μάλιστα ἢν μὴ αὐθήμερον[5] μετὰ τὴν σφαγὴν προσληφθῇ[6] ἀλλὰ καὶ μεθ' ἡμέραν α' ἢ β'. ἀποβάλλει γὰρ τοιοῦτον τρόπον ὅσον σκληρὸν ἐν αὐτῇ, ἐπέχει δὲ τὴν γαστέρα καὶ αἷμα λεπτὸν ἀπογεννᾷ καί, εἰ παχεῖ

1) ἤτοι τῷ σπ. C 2) τὸ δύσφθαρτον εἶναι I εὐαλλοίωτα εἶναι τὰ παρακείμενα C 3) om I 4) τούτου corr I 5) αὐθημερινὸν K εἰ μὴ αὐθημερῶν C ἢ μὴ αὐθωρόν F 6) προληφθείη I F προσλειφθῇ C

αἵματι ἐντύχῃ, λεπτύνει αὐτὸ καὶ μάλιστα τὰ πτερά. ταῦτα γὰρ τοῦ[1] λοιποῦ σώματος τῶν πτηνῶν εὐπεπτότερα. λυσιτελεῖ δὲ τοῖς ἀγυμνάστοις καὶ τοῖς τὴν δύναμιν ἀσθενέσι καὶ τοὶς λεπτῆς διαίτης δεομένοις καὶ τοῖς ὑγροῖς τὸν στόμαχον. ὁ δὲ τούτων μυελὸς σὺν[2] οἴνῳ μεταλαμβανόμενος ἰκτερικοὺς ὀνίνησι, τὸ[3] δὲ ἧπαρ ἐπιληπτικούς, ἡ δὲ χολὴ κατὰ τὰς ἀρχὰς τῶν ὑποχύσεων πάνυ τὸν ὀφθαλμὸν ὠφελεῖ, ἔτι δὲ πρὸς ἀμβλυωπίας. φασὶ δὲ ὡς κατὰ μῆνα ἐρρίνου[4] τρόπον χρωμένη μνήμην ἐμποιεῖ.

Περὶ τῶν περιστερῶν.

Ἡ τῶν περιστεροπούλων σὰρξ θερμή ἐστι καὶ ὑγρὰ καὶ περιττωματικὴ καὶ μάλιστα ἡ τῶν κατοικιδίων. ἀπογεννᾷ δὲ αἷμα τοῦ συμμέτρου παχύτερόν τε καὶ θερμότερον καὶ διὰ τοῦτο ἐνίοτε ποιεῖ πυρετούς. ὠφελεῖ δὲ τοὺς διὰ ψῦξιν ἀλγοῦντας τοὺς νεφροὺς καὶ προστίθησι τῇ γονῇ καὶ[5] τῷ αἵματι. βλάπτει δὲ τὴν κεφαλὴν καὶ τοὺς ὀφθαλμούς[6]. λέγεται δὲ ὡς συνεχέστερον χρωμένη καὶ[7] λέπρας ποιεῖ. κρείττονα δὲ τὰ ἐν ἔαρι ἢ φθινοπώρῳ γεννώμενα τῶν ἐν χειμῶνι ἢ θέρει τικτομένων.

Περιστερά[8].

Περιστερὰ ἡ ὀρθὴ εἰς κεφαλαλγικοὺς καὶ ῥεούσας τρίχας ἐπαλειφομένη ὠφελεῖ, ὀδονταλγίαν τε παύει καὶ κινουμένους ἤτοι[9] καὶ σείοντας ἐπικρατεῖ καὶ τὰ ἐν τῷ στόματι ἕλκη ἰᾶται καὶ κωλικοὺς ἢ λιθιῶντας τὸ ἀπόζεμα ὠφελεῖ. τοὺς δὲ ἐλεφαντιᾶν

1) *τῶν λοιπῶν πτηνῶν τοῦ σώματος* C 2) *σ. οἰ.* uncis incl. K om C 3) *τὸ — ἐμποιεῖ* om C 4) *ἐρρίνων* I F 5) *κ. σὺν* C. 6) *νεφρούς* C 7) om I 8) „titulus est: *περιστερὰ ὀρθή*“ H 9) *ἤτουν* I

ἄρχοντας καὶ ἐπιληπτικοὺς ὁμοίως πινόμενον ὠφελεῖ καὶ εἰς ἀμφημερινοὺς καὶ τεταρταίους πυρετοὺς ὡσαύτως, ποδαγρικοὺς δὲ καὶ ἰσχιαδικοὺς καὶ τραυματικοὺς καταπλασσομένη.

Περὶ Πιστακίων.

Τὰ πιστάκια ὀλιγότροφά ἐστι καὶ θερμὰ καὶ ξηρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν. χρήσιμα δέ ἐστι εἰς ἥπατος εὐρωστίαν[1] τε ἅμα καὶ κάθαρσιν τῶν ἐμπεφραγμένων[2] κατὰ τὰς διεξόδους[3] αὐτοῦ χυμῶν[4]. μετέχει γὰρ ὑποπίκρου[5] καὶ ὑποστυφούσης ποιότητος ἀρωματιζούσης. στομάχῳ δὲ κατὰ τὸν Γαληνόν, οὔτε βλάβην οὔτ' ὠφέλειαν ἐμποιοῦσιν ἀξιόλογον. οἱ δὲ νεώτεροι εὐστόμαχα ταῦτα νομίζονται. ὠφελοῦσι δὲ καὶ τοὺς ὑπὸ ἰοβόλων δηχθέντας. ἀπογεννῶσι δὲ αἷμα λεπτομερὲς καὶ λεπτύνουσι τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. τὸ δὲ πιστακέλαιον ὠφέλιμόν ἐστι τῷ στήθει καὶ τῷ πνεύμονι καὶ τοῖς νεφροῖς.

Πίστος.

Πίστος ἤτοι κέγχρος ψυχρός[6] ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηρὰ δὲ κατὰ τὴν δευτέραν. δύσπεπτός τε ὑπάρχει καὶ γαστρὸς ἐφεκτικὸς[7] καὶ ὀλιγότροφος. ὠφελεῖ δὲ τοὺς δεομένους ψύχειν τε καὶ ξηραίνειν τὴν γαστέρα. λαμβανόμενος[8] δὲ μετὰ γάλακτος ἢ ἀμυγδάλου· θασίου εὐπεπτότερος[9] καὶ ὑγρότερος γίνεται.

Πράσον.

Πράσον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν. ὑπάρχει δὲ διουρητικὸν καὶ κακό-

1) ἀρωστίαν C οὐρωστίαν B 2) ἐπεπραγμένων I ἐπιφραγμένων C ἐπεφραγμένων F 3) διόδους I C F 4) χυμοῦ C F 5) ὑποστύφου κ. ὑποπίκρου π. C 6) ψυχρά I F 7) ἐφεκτική I F 8) λαμβανομένη I F 9) εὐ-έρα κ. ὑ-τερα I F

χυμον, ἀμβλυωπίαν τε ἐμποιεῖ συνεχῶς χρώμενον. ἔστι δὲ καὶ δυσόνειρον καὶ κακοστόμαχον. θερμαίνει δὲ τὴν γονὴν καὶ κεφαλαλγίαν ἐργάζεται καὶ βλάπτει τὸ ἧπαρ καὶ τοὺς νεφροὺς καὶ τὴν κύστιν. λυσιτελεῖ δὲ πρὸς τὰς αἱμορροΐδας. δὶς δὲ ὕδατι[1] ἑψόμενον καὶ ὄξει καὶ γάρῳ καὶ ἐλαίῳ καὶ κυμίνῳ ἀρτυόμενον ὠφέλιμον γίνεται τοῖς ψυχροῖς στομάχοις.

Πρόβατον.

Τὸ προβάτειον κρέας περιττωματικόν ἐστι καὶ κακόχυμον. κρείττονα δὲ τῶν προβάτων τὰ ἐνιαύσια. τὰ δὲ ὑπὲρ ταῦτα καὶ δύσπεπτα καὶ κακοχυμώτερα. βλάπτει δὲ τοὺς ὑγροστομάχους καὶ φλεγματικούς.

Ἀρχὴ τοῦ ρ.

Περὶ ῥοιῶν.

Αἱ ῥοιαὶ[2] ψυχραί εἰσι καὶ ὑγραί. τούτων αἱ μὲν γλυκεῖαι αἱ δὲ ὀξεῖαι[3] αἱ δὲ μικταὶ τὴν γεῦσιν. ὠφελοῦσι δὲ αἱ γλυκεῖαι τὸν θώρακα καὶ εὔχυμοί εἰσι καί[4] τινος μετέχουσι θερμότητος· αἱ δὲ ὀξεῖαι διουρητικαί εἰσι καὶ πρὸς τὰς ξανθηχολικὰς νόσους καὶ τὴν τοῦ ἥπατος καὶ τῆς γαστρὸς θερμότητα ὠφέλιμοι. χρησιμεύουσι δὲ αἱ ῥοιαὶ[5] καὶ ἐπὶ τῶν δακνομένων σφόδρα[6] τὸν στόμαχον διὰ τοὺς μοχθηροὺς χυμούς, τοῦ[7] χυλοῦ σὺν ἀλφίτοις προσφερομένου, ὡς Ἱπποκράτης ἐπὶ τοῖς καρδιαλγοῦσιν ἐκέλευσε. τὰ δὲ γίγαρτα τοῦ χυλοῦ στυπτικώτερα[8]. ὁ δὲ τῆς[9] γλυκείας ῥοιᾶς χυλὸς ἅμα τῷ χυλῷ τῆς[10] ὀξείας πινό–

1) om C 2) τὰ ῥόδια B M 3) ὄξυνα B 4) καὶ — πρὸς om B M 5) ῥόδια B M 6) σφοδρῶς I F 7) τοῦ — ἐκέλευσε om C 8) ῥυπτικώτερα I F 9) τῶν γλυκέων ῥοδίων B M 10) τῷ ὀξύνῳ B

μενος προτρέπει τὴν γαστέρα καὶ ξανθὴν ἀλύπως κενοῖ χολὴν καὶ τονοῖ τὴν γαστέρα. τῆς[1] δ' ὀξείας ὁ χυλὸς σὺν μέλιτι τοῖς ὀφθαλμοῖς ἐπιτιθέμενος ὀξυδερκίαν[2] ποιεῖ καὶ[3] μάλιστα ὅτε παλαιωθῇ. οἱ δὲ κόκκοι τῶν ὀξωδῶν[4] ῥοιῶν[5] μετά τινος τροφῆς προσφερόμενος κωλύουσι[6] τὴν ῥοὴν τῶν περιττωμάτων ἐπὶ τὴν γαστέρα, μετὰ δὲ μαστίχης[7] ὁ τῆς ὀξείας[8] χυλὸς προσφερόμενος[9] πολλάκις ἐκκόπτει τὸν σφοδρὸν ἔμετον, καταπαύει τε τὰς ἀπὸ οἰνοποσίας φλεγμονὰς τοῦ ἥπατος. πᾶσαι δὲ αἱ ῥοιαὶ[10] ἐκκόπτουσι τὴν[11] ἐπὶ τὰ ἀφροδίσια ὁρμὴν καὶ μάλιστα ἐπὶ τῶν τὴν κρᾶσιν ψυχρῶν.

Περὶ ῥοδακίνων.

Τὰ ῥοδάκινα, ἃ[12] καὶ περσικὰ λέγεται. οἱ μὲν ἐν τῇ τρίτῃ τάξει τεθήκασι τῶν ψυχόντων καὶ ὑγραινόντων, οἱ δὲ ἐν τῇ πρώτῃ, οἱ δὲ ἐν τῇ δευτέρᾳ, ὃ καὶ ἀκριβέστερον. ἀπογεννῶσι δὲ χυμὸν φλεγματικὸν καὶ δύσπεπτα τυγχάνουσι καὶ ταχέως ἐν τῇ γαστρὶ διαφθείρονται καὶ διὰ τοῦτο οἱ συνεχέστερον καὶ κατακόρως τούτων μεταλαμβάνοντες πυρετοῖς ἁλίσκονται. βλάπτουσι δέ τινι ἰδιότητι καὶ τὰ νεῦρα. δεῖ δὲ ταῦτα πρὸ τῆς ἄλλης[13] τροφῆς προφέρεσθαι καὶ ἄκρατον τούτοις ἐπιπίνειν. τὰ δὲ ἐξ αὐτῶν πέπειρα[14] τὴν γαστέρα προτρέπει, τὰ δὲ ἄωρα ταύτην ἐπέχει, τὰ δὲ ξηρὰ πλεῖον. ὁ[15] δὲ χυλὸς τῶν φύλλων πινόμενος ἀναιρεῖ τὰς[16] ἕλμινθας, ὡσαύτως

1) τῶν ὀξύνων B 2) ὀξυδορκίαν B C 3) καὶ — ἥπατος om C 4) ὀξύνων B 5) ῥοδίων B M 6) κωλύουσι — προσφ. om F 7) μαστιχίου K H 8) τῶν ὀξύνων B 9) πινόμενος I 10) πάντα δὲ τὰ ῥόδια B 11) τὴν τῶν ἀφροδισίων ὄρεξιν C 12) ἃ — λέγεται om I M K 13) λοιπῆς K om B 14) πέπυρα B 15) ὁ — δυσλύτους om C 16) τοὺς I

καὶ τῷ ὀμφάλῳ μετὰ τῶν φύλλων ἐπιτιθέμενος. διεγείρει δὲ τὰ ῥοδάκινα τὴν τῆς τροφῆς ὄρεξιν, λυσιτελεῖ τε τῇ φλεγμαινούσῃ γαστρὶ καὶ τῇ γονῇ προστίθησιν. ἐμποιοῦσι δέ τι ὀρρῶδες τῷ αἵματι[1] εὔσηπτον καὶ μετὰ μῆνα[2] πολλάκις καὶ δύο ἀπογεννῶσι διὰ τὴν[3] σῆψιν πυρετούς, οὐ κατὰ τοὺς ἀπὸ τῶν λεγομένων βερικόκκων γενομένους· ἐκεῖνοι γὰρ ὀλιγοχρόνιοι καὶ εὐδιάλυτοι, ἀλλὰ χρονίους καὶ δυσλύτους. δεῖ δὲ παρατηρεῖσθαι τὸ ἐπιπίνειν τούτοις ὕδωρ ἢ ὀξεῖαν[4] προσφέρεσθαι τροφήν.

Περὶ ῥαφανίδος.

Ἡ ῥαφανὶς θερμαίνει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν, ὡς δ' ἐξ ὧν εἴρηκεν ὁ Γαληνός ἐστι τεκμαίρεσθαι. οἱ παλαιοὶ[5] χωρὶς ἄρτου ταύτην προσεφέροντο, καθάπερ οἱ νῦν τοὺς δαύκους[6]. φησὶ γὰρ ὡς ὠμὴν ταύτην ἐσθίουσιν οἱ κατὰ τὰς πόλεις ἄνθρωποι μετὰ γάρου πρὸ[7] τῶν ἄλλων γαστρὸς ὑπαγωγῆς ἕνεκα. οἱ δὲ ἐν τοῖς ἀγροῖς καὶ μετὰ ἄρτου πολλάκις φροσφέρονται. θαυμάζει πρὸς τούτοις τοὺς μετὰ δεῖπνον ταύτην προσφερομένους, ὡς ἀπεψίαν[8] μᾶλλον ἢ[9] πέψιν ἐργαζομένην[10]. ὁ δὲ Ὀριβάσιος ὑπάγειν φησὶ ταύτην τὴν γαστέρα μετὰ τὴν τροφὴν λαμβανομένην, καὶ ὡς πρὸ τῆς τροφῆς εἰς ἔμετον μᾶλλον ἐστὶν ἐπιτηδειοτέρα[11] ἀνάγουσα ἄνωθεν τὴν τροφήν. καὶ φαίνονται μὲν ἐναντιούμενοι τοῖς λόγοις ἀλλήλοις[12]. οὐκ ἐναντιοῦνται δὲ εἴ τις ἀκριβῶς τὰς τῆς γαστρὸς διαθέσεις

1) σώματι K 2) μῆνας π. δ. B M μῆνα π. ἢ δ. I 3) τινὰ B 4) ὀξώδη I C 5) γάρ φησι add B 6) τὸ δαυκίον I C F 7) π. τ. ἀ. om B 8) εὐπεψίαν ἐργαζομένην omissis ceteris corr I 9) ἢ — ἔμετον om F H 10) ἐργαζομένους B 11) ἐμποιεῖν add I 12) om B M

ἐπισκοπείη[1]. *ἐφ᾽ ὧν γὰρ ἀνυπαγωγός*[2] *ἐστιν ἡ γαστὴρ καὶ ἀπνευματικός*[3] *καὶ*[4] *οὐκ ἐπιπολάζει ταύτῃ*[5] *ἡ τροφή, τούτοις δοτέον τὰς ῥαφανίδας πρὸ τῆς τροφῆς. εἰ*[6] *δὲ ἡ γαστὴρ ἐμπνευματοῦται καὶ ἐπιπολάζει ἡ τροφὴ*[7] *καὶ δυσκοιλίους εἶναι συμβαίνει, τούτοις*[8] *προσφέρεσθαι ταύτας μετὰ τὴν τροφήν. εἰσὶ δὲ καὶ εὔφθαρτοι καὶ διὰ τοῦτο δυσώδεις ἐρυγὰς ἐμποιοῦσιν. δεῖ δὲ τοὺς μετὰ τὴν χρῆσιν αὐτῶν τοιοῦτα ἐρευγομένους*[9] *ἀπέχεσθαι αὐτῶν. συμφθείρουσι γὰρ ἑαυταῖς καὶ τὰ λοιπὰ σιτία. ἔχουσι δὲ δριμεῖαν ποιότητα καὶ λεπτομερῆ δι᾽ ἧς τέμνουσι καὶ ἀναλίσκουσι τὸ*[10] *φλέγμα, ἐμπνευματοῦσί τε τὸ*[11] *στόμα τῆς γαστρὸς καὶ βλάπτουσι τοὺς ὀδόντας καὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ βραγχῶσι τὴν φωνὴν καὶ ἰδιότητί τινι τοῖς ἀρθριτικοῖς τὴν ὀδύνην ἐπιτείνουσιν. εἰσὶ δὲ καὶ διουρητικαί. ὁ*[12] *δὲ Διοσκορίδης*[13] *φησί, ὅτι τὰς αἰσθήσεις ἀκριβοῦσιν, οἱ δὲ Ἰνδοὶ εὐφυίαν ταύτας δρᾶν λέγουσι καὶ τὴν διάνοιαν εὐεπίβολον*[14] *ποιεῖν. λέγεται δὲ καὶ ὡς τὸ τούτων ἀπόζεμα ἀποφρακτικόν ἐστι καὶ διὰ τοῦτο πολλάκις ἰκτερικοὺς ὤνησε καὶ τοὺς*[15] *τὰς*[16] *ἐμφράξεις ἔν τε τῷ ἥπατι καὶ*[17] *τοῖς νεφροῖς καὶ τῇ κύστει ἔχοντας, καὶ ὡς ὀξυδερκίαν πολλὴν*[18] *περιποιήσαντο καὶ ὅτι ὁ τούτων χυλὸς σὺν ῥοδίνῳ ἐλαίῳ μετὰ τὸ θερμανθῆναι τοῖς ὠσὶν ἐπισταζόμενος*[19] *δυσηκοΐαν ἰᾶται. μετὰ δὲ τὴν ἕψησιν προσφερόμεναι ἱστῶσι τὰς αἱμορροΐ-*

1) *ἐπισκοπεῖ* B C 2) *ἐνυπάγωγος* I *ἐξεπάγωγος* B M *εὐυπάγωγος* F 3) *ἐμπν.* B M 4) *καὶ* om B 5) *ταύτην* B 6) *οἷς* B C 7) *ταύτῃ* add B 8) *οὗτοι προσφερέτωσαν* B 9) *ἐργαζομένους* I F 10) *τὰ φλέγματα* B 11) *τὸν στόμαχον* I F 12) *ὁ — ποιεῖν* om C 13) *Διοσκουρίδης* B 14) *ἐνεπήβολον* I 15) *τοὺς* et *ἔχοντας* om K 16) *τὰς* om B 17) *καὶ — θερμανθῆναι* om C 18) *πολλοῖς* I *πολλάκις* B 19) *ἐμπιεζόμενος* I F

δας. ὠφελοῦσι δέ τινι ἰδιότητι καὶ τὰ ὑποχόνδρια πρὸ[1] τῆς τροφῆς μεταλαμβανόμεναι. σὺν δὲ μέλιτι καὶ πρὸς βῆχας καὶ δυσπνοίας λυσιτελοῦσι, καὶ τὰ τούτων φύλλα[2] πρὸς σπληνικὰς διαθέσεις[3]. τινὲς δὲ καὶ σὺν ὀξυμέλιτι ταύτας προσφέρουσιν[4] ἐμέτου χάριν καὶ ἐμοῦσι φλέγμα πολὺ καὶ ἀπαλλάσσονται αμφημερινῶν[5] καὶ τεταρταίων πυρετῶν. φασὶ[6] δὲ καὶ ὡς ὁ τούτων χυλὸς σὺν[7] ὄξει ἀναιρετικός[8] ἐστι σκορπίων τούτοις ἐπιχεόμενος καὶ ὡς τὸν μεταλαμβάνοντα αὐτοῦ[9] οὐ βλάψει δῆγμα σκορπίου τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὅτι εἴ τις χυλῷ ῥαφανίδος ἐπιμελῶς τὰς χεῖρας χρίσει καὶ τρίψει, ἀκινδύνως ἑρπετῶν ἐπιλήψεται.

Περὶ ῥόδων[10].

Τὸ ῥόδον ψυχρόν ἐστι καὶ ξηρὸν ἐκ στυφώδους καὶ πικρᾶς ποιότητος συγκείμενον. ὠφελεῖ δὲ τὰς θερμὰς κεφαλὰς ὀσφραινόμενον, βλάπτει δὲ τὰς ὑγρὰς καὶ ῥευματίζει ταύτας. ὠφελεῖ δὲ πρὸς τοὺς ἐκ τῆς ξανθῆς χολῆς πυρετοὺς μεταλαμβανόμενον καὶ τονοῖ τὸν στόμαχον καὶ τὸ ἧπαρ. βλάπτει δὲ ἰδιότητί[11] τινι τοὺς ὄρχεις, ἀναχαιτίζει[12] δὲ τὰς δριμέας ἀναθυμιάσεις, ὥστε[13] μὴ ἀνάγεσθαι ἐπὶ τὴν κεφαλήν.

Ἀρχὴ τοῦ σ.

Περὶ σύκων.

Τὰ σῦκα θερμαίνει κατὰ τὴν πρώτην ἀπόστασιν ἐπιτεταμένην, ξηραίνει δὲ κατὰ τὸ μέσον τῆς πρώτης,

1) *μετὰ* K 2) *προσφερόμενα* addit I C 3) *ὀνίνησι* addit I 4) *προσφέρονται* B 5) *αὐθημερινῶν* F *ἀφημ.* B 6) *φασὶ δὲ ὡς* om C 7) *σ. ὀ.* om I 8) *ἀναιρεκτικός* F *ἀνωρεκτικός* H K 9) *αὐτῶν* B 10) *π. ῥόδου* C 11) *ἰ. τ.* om C 12) *ἀναχετίζει* I C F *ἀναχαιτίζει* B.
13) *ὡς τὸ μὴ ἀναδίδοσθαι εἰς τ. κ.* C

τρέφει δὲ ἱκανῶς. οὐ μὴν[1] ἐσφιγμένην[2] τε καὶ ἰσχυρὰν ἐργάζονται τὴν σάρκα, καθάπερ ἄρτος καὶ κρέας, ἀλλὰ χαύνην καὶ ὑπόσομφον. ἐμπίπλησι[3] δὲ φύσης[4] τὴν γαστέρα, εἰ μὴ καλῶς πεφθῇ[5]. ἧττον δέ εἰσι τῶν λοιπῶν ὀπωρῶν κακόχυμα. προτρέπουσι δὲ τὴν γαστέρα καὶ ῥαδίως διέρχονται[6] καὶ ἀξιόλογον ἔχουσι τὸ ῥυπτικόν, καὶ[7] ψαμμώδη πολλὰ τοῖς νεφριτικοῖς[8] ἐπὶ τῇ ἐδωδῇ αὐτῶν ἐκκρίνεται. τὸ δὲ πέπειρον[9] σῦκον ἐγγὺς τοῦ μηδ' ὅλως βλάπτειν ἥκει παραπλησίως[10] ταῖς ἰσχάσι πολλὰ μὲν ἐχούσαις τὰ χρήσιμα. μοχθηρὸν δὲ τὸ[11] μὴ πάνυ χρηστὸν αἷμα ἀπογεννᾶν· ὅθεν καὶ φθεῖρας ἀπογεννῶσι. δεῖ δὲ μετὰ τὴν τῶν σύκων χρῆσιν λεπτύνουσαν προσφέρεσθαι τροφήν. ὁ δὲ Γαληνός, ὥς φησι[12], νοσήσας πολλάκις διὰ τὴν τῶν ὀπωρῶν χρῆσιν, ἀπό γε τοῦ εἰκοστοῦ ὀγδόου ἔτους τῆς ἡλικίας αὐτοῦ μέχρι τοῦ γήρως πασῶν μὲν ἀπείχετο, σῦκα δὲ μόνα[13] καὶ σταφυλὰς προσεφέρετο[14], οὐδὲ[15] τούτων ἀμέτρως. λέγει[16] δὲ καὶ ὡς ὅσοι τῶν φίλων αὐτοῦ τῇ τοιαύτῃ παραινέσει πεισθέντες τῆς χρήσεως τῶν ὀπωρῶν ἀπέσχοντο[17], ἄνοσοι διέμειναν. ὠφελοῦσι δὲ τὰ σῦκα τὸν πνεύμονα καὶ τὸν θώρακα. φασὶ δὲ καὶ ὡς ἀντιφαρμάκου δύναμιν ἔχουσι πρὸς τὰ δηλητήρια εἴ τις αὐτοῖς καθ' ἑκάστην νῆστις χρήσοιτο[18].

1) μὲν B 2) ἐσφιγμένα I om et pro τε scripsit δὲ C 3) ἐμπίπλῶσι B C M 4) φύσας B 5) πεφθῶσιν B 6) ἐξερχ. B 7) καθάπερ καὶ I C F 8) νεφροῖς H K 9) πέπυρον B 10) παραπλήσιον ἤδη corr I 11) καὶ corr I 12) φασι corr I C 13) μονήρως I F om K 14) προσεφέρεστον I προσεφέρεντο K 15) οὐδὲ usq. ad fin om C 16) λέγεται I F 17) ἀπέχοντο I K 18) χρήσεται F

Περὶ σταφυλῶν[1].

Αἱ πέπειραι[2] *σταφυλαὶ θερμαί εἰσι καὶ ὑγραὶ*[3] *κατὰ τὴν πρώτην*[4] *ἀπόστασιν καὶ τρέφουσι τῶν λοιπῶν*[5] *ὀπωρῶν πλέον, ἧττον δὲ τῶν σύκων, καὶ οὐ κακόχυμοί εἰσιν εἰ*[6] *πέπειραι τυγχάνουσιν ἀκριβῶς. οὐ μὴν ἰσχυρά τε*[7] *καὶ πυκνὴ ἡ ἐκ τούτων σὰρξ ἀλλὰ χαύνη καὶ πλαδαρά· καὶ μέγιστον, φησὶ Γαληνός, αὐτῶν ἀγαθὸν τὸ ταχέως ὑπέρχεσθαι· διὼ κἂν ἐπισχεθῶσι βλάπτουσιν. οὐ γὰρ πέττονται τηνικαῦτα καλῶς, ἀλλ' ὠμὸν γεννῶσι χυμὸν οὐ ῥᾳδίως εἰς αἷμα μεταβαλλόμενον. ἡ δὲ τῶν γιγάρτων οὐσία ξηρὰ καὶ στύφουσά πώς ἐστι. διεξέρχεται οὖν τὰ ἔντερα πάντα*[8] *μὴ ἀλλοιουμένη. αἱ δὲ κρεμασθεῖσαι σταφυλαὶ οὔτε*[9] *ἐπέχουσι τὴν γαστέρα οὔτε προτρέπουσιν. εὐπεπτότεραι δὲ τῶν ἄλλων εἰσίν. οὐ μικρὰ δὲ διαφορὰ τῶν σταφυλῶν κατὰ*[10] *τὸ γλυκείας ἢ αὐστηρὰς ἢ ὀξείας εἶναι. αἱ μὲν γὰρ γλυκεῖαι θερμότερον ἔχουσι τὸν χυλόν, αἱ δὲ αὐστηραὶ καὶ ὀξεῖαι ψυχρότερον. γαστέρα γὰρ ὑπάγουσιν αἱ γλυκεῖαι καὶ μάλιστα ὅταν ὦσιν ὑγραί. πασῶν μὲν οὖν ἀσφαλεστάτη χρῆσις ἐστὶν ὅταν σαρκώδεις ὦσι καὶ πέπειραι*[11] *καὶ συμμέτρως τις αὐτῶν μεταλαμβάνει*[12]. *τινὲς δὲ σταφυλαὶ τὸ λεῖπον τῆς ἐπὶ τῶν ἀμπέλων πέψεως προσλαμβάνουσιν*[13] *ἐκ τοῦ κρεμασθῆναι καὶ γλυκαίνονται. αἱ δὲ λευκαὶ σταφυλαὶ πλεῖον προτρέπουσι τὴν γαστέρα ἢ αἱ μέλαιναι. πᾶσαι δὲ διεγείρουσι τὴν τῆς τροφῆς ὄρεξιν καὶ*

1) *σταφυλῆς* B 2) *πέπυροι* B C 3) *ξηραὶ* C 4) *τρίτην* C 5) *τ. λ. πλέον ὡραίων* C 6) *εἰ ἄρα πέπυροι* B 7) *γε* I *τις* B K 8) *πάντη μὴ ἀλλοιούμενα* B M 9) *οὐ προτρέπουσιν* C 10) *ἐν τῷ* C 11) *πέπυροι* B C 12) *μεταλαμβάνῃ* B 13) *λαμβ.* B

ἀφροδισιαστικαὶ τυγχάνουσι. σύγκεινται δὲ ἐκ τεσσάρων· τοῦ τε περιέχοντος ὑμένος, ὅς καὶ ψυχρὸς καὶ ξηρὸς καὶ δύσπεπτός ἐστι, καὶ τῆς οἷον σαρκὸς αὐτῆς, καὶ τῆς παρεσπαρμένης[1] κατ' αὐτὴν ὑγρότητος, πρὸς δὲ καὶ τῶν γιγάρτων. δεῖ δὲ τόν τε ὑμένα καὶ τὰ γίγαρτα ἀποπτύειν[2] διὰ τὸ δυσκατέργαστα εἶναι. αἱ δὲ ὀμφακίζουσαι ψυχραί εἰσι καὶ ξηραὶ καὶ γαστρὸς ἐφεκτικαὶ καὶ εὐστόμαχοι καὶ τῆς ἀπὸ[3] ξανθῆς χολῆς θερμότητος καταπαυστικαί, ἧττον μέντοι τρόφιμοι. ὁ δὲ τούτων χυλὸς παλαιούμενος καὶ ἅμα ῥοδοστάγματι μετὰ ζέσιν προσφερόμενος βοηθεῖ τοῖς μὴ κατέχουσι τὴν τροφὴν ἐν τῇ γαστρὶ καὶ τοῖς ναυτιώδεσι[4]. δεῖ δὲ μὴ μόνον τὰς σταφυλὰς ἀλλὰ καὶ πάσας τὰς ὑγρὰς ὀπώρας πρὸ τῆς λοιπῆς τροφῆς προφέρεσθαι.

Περὶ σταφίδων.

Αἱ σταφίδες θερμότεραί εἰσι τῶν σταφυλῶν, ἀμείνονες δὲ αἱ λιπαρώτεραι καὶ[5] οἷον φλοιὸν ἔχουσαι λεπτότερον, καὶ αἱ γλυκύτεραι. αὗται δὲ τροφιμώτεραι τῶν σταφυλῶν εἰσί. μετέχουσι δὲ στυπτικῆς ἅμα καὶ πεπτικῆς δυνάμεως καὶ διαφορητικῆς μετρίως[6]. τὸν αὐτὸν δὲ λόγον ἔχουσι πρὸς τὰς σταφυλάς, ὃν[7] αἱ ἰσχάδες[8] πρὸς[9] τὰ σῦκα. καὶ αἱ μὲν γλυκύτεραι θερμότεραι, αἱ δὲ αὐστηραὶ ψυχρότεραι, αἱ δὲ τὸν στόμαχον ῥωννύουσι καὶ τὴν κοιλίαν ἐπέχουσι. μέσην δέ πως κατάστασιν αἱ γλυκεῖαι ποιοῦσι μήτε ἐκλύουσαι[10] σαφῶς[11] τὸν στόμαχον μήτε ὑπάγουσαι τὴν γαστέρα, τό τε[12] μὴν ἐκφρακτι-

1) *κατεσπ.* B M 2) *ὑποπ.* I F 3) *ὑπὸ* B 4) *ναυτιῶσι* I C 5) *κ. τὸν οἶνον λεπτὸν ἐχ.* B M *αἱ τὸν φλ. ἐχ. λ.* K 6) om C 7) *οἷον* B 8) *νέαι ἰσχ.* I F 9) *περὶ* B M 10) *ἐγκλείουσαι* B 11) *ἀσαφῶς* I 12) γε B

κὸν ἔχουσιν. ἧττον δὲ τῶν ἰσχάδων ἐνδείκνυνται αἱ σταφίδες τὸ ὑπακτικὸν καὶ τὸ ῥυπτικόν. εὐστομαχώτεραι δὲ τούτων εἰσίν. ὠφελοῦσι δὲ τὸ στῆθος καὶ τὸν πνεύμονα. ῥωννύουσι δὲ τὸ ἧπαρ καὶ τὸν σπλῆνα. μετὰ δὲ τῶν γιγάρτων ἐσθιόμεναι λυσιτελοῦσι τοῖς ἐντέροις, πλὴν κρεῖττον τὰ γίγαρτα αὐτῶν ἀποπτύειν διὰ τὸ ἐν αὐτοῖς σκληρὸν καὶ γεῶδες. ἐνδυναμοῦσι[1] δὲ τὰ καθαρτικὰ φάρμακά τινι ἰδιότητι. φησὶ δέ τις τῶν ἰατρῶν, ὡς εἰ βούλεταί τις ἐλαττῶσαι τὸ φλέγμα ἐν τῷ σώματι αὐτοῦ[2], ἐσθιέτω νῆστις σταφίδων[3] λιπαρῶν ἑξάγια[4] ἓξ ἐφ' ἡμέραις ἑπτά. οἱ δὲ Αἰγύπτιοι κατασκευάζουσιν ἐκ τῶν σταφίδων[5] καὶ τοῦ μέλιτος οἶνον, ὃν ἡλιακὸν ὀνομάζουσιν. ἔστι δὲ τῇ γεύσει ἡδύτατος.

Περὶ τοῦ σάχαρ[6].

Τὸ σάχαρ θερμόν ἐστι καὶ ὑγρὸν[7] κατὰ τὴν πρώτην[8] ἀπόστασιν. ἔχει δὲ δύναμιν ῥυπτικὴν καὶ διαφορητικὴν[9] καθάπερ[10] τὸ μέλι, πλὴν[11] οὔτε δίψαν ἐμποιεῖ οὔτε[12] δῆξιν ἐν τῷ στομάχῳ. προτρέπει δὲ τὴν γαστέρα καὶ ὠφελεῖ τόν τε θώρακα καὶ τοὺς νεφροὺς καὶ τὴν κύστιν. οἱ δὲ λογιζόμενοι ἰητροὶ[13] τοῦτο ψυχρὸν ἁμαρτάνουσιν. εἴδομεν[14] γὰρ αὐτὸ ἐν ταῖς θερμοτέραις κοιλίαις ἐκχολούμενον. κρεῖττον δέ ἐστι τὸ παλαιὸν σάχαρ τοῦ νέου· λεπτομερέστερον γὰρ γίνεται καὶ θερμότερον, πλὴν κεφαλαλγίαν ἐμποιεῖ.

1) ἐνδυναμοῖ I 2) πλεονάσαι δὲ τὸ αἷμα add. I K 3) ἀσταφίδων I K 4) ἑξαγίων B M I εὐάγια C 5) ἀσταφίδων I F 6) σάχαριν I F H 7) ξηρὸν C 8) τρίτην C 9) διουρητικὴν I F 10) pro καθάπερ — στομάχῳ habet: δῆξιν δὲ ἐν τῷ στομ. οὐ ποιεῖ καθ. τὸ μ. C 11) om K 12) ante οὔτε habet καθάπερ τὸ μέλι I F et εἰ καθ. τὸ μ. B 13) ἰατροὶ B 14) ἴδομεν B M εἶδον γὰρ αὐτὸ ἐγὼ I F οἶδον C

ὕδατι δὲ ἀναλυόμενον μεταλαμβάνει τῆς τοῦ ὕδατος ψυχρότητος[1] καὶ ψύχει. θυμιώμενον[2] δὲ καὶ ὀσφραινόμενον τοὺς τὴν κεφαλὴν ῥευματιζομένους ὀνίνησιν.

Περὶ σελίνου[3].

Τὸ σέλινον θερμόν ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν ἐπιτεταμένην, ξηρὸν δὲ κατὰ τὴν[4] μέσην τῆς τρίτης. ὑπάρχει δὲ διουρητικὸν καὶ ἀποφρακτικὸν καὶ ἄφυσον[5], μᾶλλον δὲ καὶ πνευμάτων διαφορητικὸν καὶ καταμηνίων ἀγωγόν. δύσπεπτον δέ ἐστι καὶ δεῖ τοῦτο διὰ μέσης προσφέρεσθαι τῆς τροφῆς, ἐπέχει δὲ[6] μικρόν τι τὴν γαστέρα, ἰδιότητι δέ τινι βλάπτει τοὺς ἐπιληπτικούς. καὶ δεῖ τοὺς τοιούτους τούτου πάντη[7] ἀπέχεσθαι. πολλάκις[8] γάρ τινας τῶν τέως μὲν ὑγιαινόντων δεκτικῶν δὲ ὄντων τῆς τοιαύτης νόσου ἐπιληπτικοὺς[9] ἡ τούτου χρῆσις εἰργάσατο. βλάπτει δὲ καὶ τοὺς ὄρχεις. δυναμικώτερον δὲ τῶν φύλλων[10] εἰς τὴν ἐνέργειαν τὸ[11] σπέρμα καὶ τούτου ἡ ῥίζα. λυσιτελεῖ τὸ σέλινον καὶ πρὸς λυγμοὺς τοὺς ἀπὸ παχέων[12] περιττωμάτων. ῥύπτει δὲ τοὺς νεφροὺς καὶ τὴν κύστιν καὶ ἀποφράττει τὰς γινομένας ἐμφράξεις ἔν τε ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις, τὸ δὲ τούτου σπέρμα μεταλαμβανόμενον μέθης γίνεται ἀποτρεπτικόν. συμβάλλεται δὲ τὸ σέλινον εἰς εὐωδίαν τοῦ στόματος[13]. καὶ πολλοὶ διὰ τῆς συνεχοῦς[14] τούτου χρήσεως καὶ τῆς τοῦ στόματος[15] δυσωδίας ἀπηλλάγησαν. κατωφερεστέρας[16]

1) ποιότητος C 2) θυώμενον C 3) σελήνου C 4) τὸ μέσον I κατὰ τὴν τρίτην C 5) ἀφ — 9 καὶ uncis incl. K 6) γὰρ I 7) πάντως B M πάντας K πάντα C πάνθη F 8) πολλ. — εἰργάσατο om C 9) ἐπιλήπτους I F 10) σταφυλῶν B 11) τὸ σπ. om B 12) παχυμερῶν B K F 13) σώματος K 14) συνεχούσης B 15) σώματος K 16) κατοφ. I καταφ. K

δὲ ποιεῖ τὰς γυναῖκας εἰς ἀφροδίσια. καὶ τὸ ἀπόζεμα[1] δὲ τούτου ἐγκάθισμα γινόμενον καὶ ἐπαντλούμενον λίθους ὥς φασιν ἐκβάλλει καὶ δυσουρίαν θεραπεύει καὶ νεφροὺς ἰᾶται· δεῖ δὲ τὰς θηλαζούσας τῆς τούτου χρήσεως ἀπέχεσθαι· ἐλαττοῖ γὰρ τὸ γάλα. ὁ δὲ τούτου χυλὸς λυσιτελεῖ τοῖς ἀπὸ τῶν ἀμφημερινῶν[2] πυρετῶν ῥίγεσι μεταλαμβανόμενος. τὸ δὲ ἄγριον ἀντιφαρμάκου δύναμιν ἔχει πρὸς τὰ δηλητήρια.

Περὶ σεύτλου.

Τὸ σεῦτλον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν πρώτην[3] ἀπόστασιν. ἔστι δὲ ὁ ἐν αὐτῷ χυλὸς μετρίως ῥυπτικός, ὃς[4] καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐπεγείρει καὶ τὸν στόμαχον ἐνίοτε δάκνει καὶ μάλιστα ἐκείνων ὅσοι περ ἂν εὐαίσθητον[5] αὐτὸν ἔχουσι. καὶ διὰ τοῦτο κακοστόμαχόν ἐστιν ἔδεσμα πλεῖον βρωθέν. ἡ δὲ ἀπ᾽[6] αὐτοῦ τροφὴ βραχεῖα καθάπερ ἡ τῶν ἄλλων λαχάνων, ἐπιτήδειόν τέ ἐστι εἰς τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις μετὰ[7] ὄξους ἐσθιόμενον. τὸν αὐτὸν δὲ τρόπον ἐσθιόμενον καὶ τοῖς ὑποσπλήνοις[8] ἀγαθὸν γίνεται φάρμακον. σύγκειται δὲ τὸ σεῦτλον ἐξ ἐναντίων δυνάμεων. ὁ μὲν γὰρ χυλὸς αὐτοῦ ἐστι θερμὸς καὶ γαστρὸς ὑπαγωγὸς καὶ διψώδης. αὐτὸ δὲ τὸ σῶμα παχυμερὲς καὶ φυσῶδες καὶ δύσπεπτον καὶ ψυχρὸν καὶ γαστρὸς ἐφεκτικόν, καὶ διὰ τοῦτο διαφόρως[9] ἑψόμενον, ἐναλλασσομένου[10] τοῦ ὕδατος ἐν[11]

1) ζέμα B C 2) ἐφημ. B M αὐθημερινῶν C 3) τρίτην K 4) ὡς — ἐπεγείρειν B 5) εὐστόμαχον B 6) ὑπ᾽ B 7) εἰ δὲ μετὰ ὄξους ἐσθίηται C εἰ — ἐσθίεται M 8) σπληνικοῖς corr I C 9) δὶς K δύο φοραῖς corr I 10) ἐν ἐλασσομένου τ. ὑ. 11) ἐν τῷ ἑψῆσθαι B M ἀφέψηται C

ᾧ ἕψεται, ἐπέχει τὴν γαστέρα διὰ τὸ ἀποβάλλειν τὴν νιτρώδη[1] ποιότητα.

Περὶ σευτλορίζου.

Τὸ σευτλόριζον[2] φλέγματός ἐστι γεννητικόν. ὑπάρχει δὲ παχυμερὲς καὶ δύσπεπτον καὶ φυσῶδες, τὴν δὲ γαστέρα προτρέπει· εἰ δέ τις τοῦτο καύσει καὶ μέλιτι φυράσει καὶ πλύνει δι' αὐτοῦ τὴν κεφαλὴν τὴν ἀρξαμένην φαλακροῦσθαι, συνέξει τὰς λοιπὰς τρίχας.

Περὶ σηπίας.

Ἡ σηπία δύσπεπτός ἐστι καὶ ὀλίγον ἔχει ἐν ἑαυτῇ τὸν ἁλυκὸν χυμόν. εἰ μέντοι πεφθῇ, τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι. ἀπογεννᾷ δὲ ὠμὸν χυμόν. διὸ δεῖ μετὰ δριμέων ἀρτυμάτων ταύτην προσφέρεσθαι καὶ οἶνον ἐπιπίνειν παλαιὸν καὶ λεπτόν. λέγεται[3] δὲ ὡς εἴ τις θρυαλλίδα[4] σηπίας μέλανι καὶ ἰῷ χαλκοῦ χρίσει, ποιήσει τοὺς μὲν χαλκοῦς[5] τοὺς δὲ μέλανας φαίνεσθαι διὰ τὴν τῶν μιχθέντων κατασποράν.

Περὶ σησάμου[6].

Τὰ σήσαμα θερμά ἐστι κατὰ τὴν ἀρχὴν τῆς πρώτης τάξεως, ὑγρὰ δὲ κατὰ τὸ ἔσχατον αὐτῆς, καὶ διὰ τὸ ἐν αὐτοῖς ἐλαιῶδες ἐμπίμπλησι[7] τοὺς ἐσθίοντας ταῦτα ταχέως[8]. ἀνατρέπει δὲ τὸν στόμαχον καὶ βραδέως πέπτεται καὶ τροφὴν δίδωσι τῷ σώματι λιπαράν καὶ δίψαν ἐμποιεῖ, καὶ εἴ τι τούτων

1) ὑγρώδη B M 2) σευτλόρριζον B 3) λέγεται usq. ad fin om C et cod Vatican 4) ἐν θρυαλλίδι σ. μελάνη κ. ἰ. χ. χ. τινάς B M 5) λευκοὺς M 6) σησάμων C σήσαμον H 7) ἐμπιμπλῶσι B I F ἐμπιπλῶσι C M ἐμπίμπλησι H 8) παχέως M

τοῖς ὀδοῦσι καταληφθῇ, δυσωδίαν στόματος ἐργάζεται. προτρέπει δὲ τὰ καταμήνια καὶ τὰ σπλάγχνα βλάπτει. ἀμέτρως[1] δὲ μεταλαμβανόμενα ἐμφράξεις ποιεῖ ἔν τε τῷ ἥπατι καὶ τῷ σπληνί.

Συάκιον[2].

Τὸ συάκιον οὐ κακόχυμόν ἐστι καὶ μάλιστα[3] ὅτε πεφθῇ. τρέφει γὰρ ἱκανῶς. ὠφελεῖ δὲ μάλιστα τοὺς τὴν κρᾶσιν θερμούς[4], καὶ ἔοικεν ἡ τούτου σὰρξ τῇ τῶν ἀλεκτορίδων. οὔτε γὰρ τῶν πάνυ σκληροτάτων[5] ἐστίν, οὔτε τῶν χαύνων, ἀλλὰ συμμετρίας μετέχει καὶ ἡδύτητος, καὶ διὰ τοῦτο δύναμιν τῷ σώματι πεφθὲν περιποιεῖται καὶ αἷμα ἀπογεννᾷ ἐγγὺς[6] τοῦ συμμέτρου.

Περὶ σκορόδου[7].

Τὸ σκόροδον θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὸ μέσον τῆς τετάρτης ἀποστάσεως. ἐπιτηδειότατον δὲ ὑπάρχει τοῖς παχὺν καὶ γλίσχρον ἢ ὠμὸν ἠθροικόσι χυμόν, ἐκφράττον τοῦτον καὶ τέμνον. ἔχει δέ τι καὶ κακόχυμον, ὅπερ ἀποβάλλει ὕδατι ἑψόμενον. ταῖς δὲ ψυχραῖς κράσεσι προφυλακτικὸν γίνεται πολλάκις ὑγείας. προτρέπει[8] δὲ τὴν γαστέρα καὶ τὰ οὖρα. βλάπτει δὲ τοὺς τὴν κρᾶσιν θερμούς, καὶ μάλιστα τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ τὴν κεφαλὴν καὶ τὸν πνεύμονα καὶ τοὺς νεφρούς. ἰδιότητι δέ τινι καταπαύει τὴν δι' ἁλυκὸν χυμὸν δίψαν καὶ τὰς ἕλμινθας ἐκβάλλει καὶ τὰ πνεύματα διαφορεῖ. εἰ δὲ καὶ βλάπτει τὴν ὑγιῆ ὄψιν, ἀλλ' οὖν τὴν δι'

1) βλάπτει ἀμέτρως δὲ μεταλαμβανόμενα. ἐμφράξεις τε κτλ. C 2) περὶ σιακνίου C σιακίου B 3) om C 4) θερμοτέρους B 5) σκληροσάρκων B 6) εὐθὺς σύμμετρον C 7) σκόροδα H 8) προτ. — οὖρα om I H

ὑγρότητος[1] ἀμβλυωπίαν ἰᾶται. ξηραίνει δὲ τὴν γονὴν ἐπὶ τῶν θερμῶν σωμάτων, ἐπὶ δὲ τῶν ψυχρῶν καὶ[2] ὑγρῶν σωμάτων θερμαίνει ταύτην καὶ ἀφροδισιαστικὸν γίνεται[3]. ἀντιφάρμακον δέ ἐστι πρός τε τὰ δηλητήρια καὶ τὰ τῶν ἰοβόλων δήγματα, ὥσπερ σχεδὸν ἡ θηριακή. καὶ διὰ τοῦτο ὁ Γαληνὸς θηριακὴν[4] τοῦτο καλεῖ τῶν ἀγροτῶν[5]. φεύγουσι δὲ τοῦτο οἱ ὄφεις, ὥσπερ καὶ τὰ πήγανα[6]. καὶ διὰ τοῦτο οἱ Πέρσαι τὸ πρὶν τὰ μαγειρεῖα[7] αὐτῶν ἐνεπίμπλων[8]. λέγεται[9] δὲ ὡς εἰ δύο τινὲς δηλητηρίου μεταλήψονται, ἧττον βλαβήσεται ὁ[10] σκορόδων ἀπογευσάμενος ἢ ὁ μὴ χρησάμενος. τὸ δὲ αὐτὸ συμβαίνει, εἰ καὶ δύο τινὲς δηχθῶσιν ὑπὸ ἰοβόλων. καὶ δῆλον ἐκ τούτου, ὡς ὁμοιότης τις ἔνεστι[11] τῇ ἐν τῷ σκορόδῳ θερμότητι πρὸς τὸ ἐν ἡμῖν ἔμφυτον θερμόν. διὸ καὶ διανιστᾷ[12] τοῦτο καὶ τὰ στερεὰ τονοῖ μόρια, ὥστε τὸ βλάπτον αὐτὰ[13] ἀποσοβῆσαι[14] καὶ ἀποσείσασθαι[15]. οὐ μόνον δὲ πνευμάτων διαφορητικόν ἐστιν, ἀλλὰ καὶ κωλύει τὴν τούτων γένεσιν καὶ τὰς ἀπὸ πνεύματος[16] κωλικὰς[17] διαθέσεις καὶ πρὸς τὰς χρονίας ἰσχιάδας τὰς[18] ἀπὸ φλέγματος λυσιτελεῖ. λεπτύνει τε τὴν τροφὴν καὶ τὸ αἷμα καὶ[19] ἐρυθραίνει τὸ πρόσωπον καὶ τὴν τραχεῖαν καθαίρει ἀρτηρίαν. εἰ δέ γε ὀπτηθῇ καὶ ἐπιτεθῇ βεβρωμένοις[20] ὀδοῦσιν ἢ τοῖς δι' ὑγρότητα[21] ὀδυνομένοις, ὀνίνησιν. εἰ δὲ

1) ὑγρότητα I F 2) κ. ὑ. σ. om C 3) ἐστι I 4) θηριακόν F 5) ἀγρωτῶν C 6) τὸ πήγανον B M 7) μαγηρεῖα K C μαγηρία F 8) ἀνεπ. K 9) λέγεται — ἰοβόλων om C 10) ὁ σκόροδον εὐθὺς ἀπ. M 11) ἐστὶν ἐν C M 12) διανίσταται B M ἀνιστᾷ K 13) αὐτοῦ B 14) ἀποβῆσαι I ἀποσβῆσαι F 15) ἀποσεῖσαι B M ἀποσείσεσθαι C 16) φλέγματος B M 17) κωλυτικάς B 18) τ. ἀ. φ. om C 19) κ. — πρόσωπον uncis incl. K 20) βεβρωμένον ὀ. τοῖς δ. ὑ. ὀ. M 21) ὑγρότητος C

σὺν μέλιτι ἐπιπλασθῇ, τοῖς ἐν τῇ κεφαλῇ ὑγροῖς ἕλκεσιν ἴαμα γίνεται, πρός τε ἀρθρίτιδας[1] τὰς ἀπὸ φλέγματος καὶ βῆχας λυσιτελεῖ καὶ πρὸς ἀλφοὺς καὶ λέπρας. οὐ μόνον δὲ μεταλαμβανόμενον ὠφελεῖ πρὸς τὰ τῶν ἰοβόλων δήγματα, ὡς προείπομεν, ἀλλὰ καὶ μετὰ τὸ θλασθῆναι ἐπιτιθέμενον. λέγεται δὲ παρ' Ἴνδοις[2] ὡς καὶ πρὸς τὰς ἐν τῷ πνεύμονι πληγὰς χρησιμεύει καὶ τὰς στραγγουρίας καὶ[3] πρὸς τὰς ψυχρὰς τῆς γαστρὸς διαθέσεις καὶ ὡς τῇ φωνῇ βλαπτικὸν τυγχάνει καὶ ταῖς αἱμορροῖσι[4] καὶ ἐπὶ τῶν τεινεσμῶν[5] καὶ τῆς[6] γαστρορροίας καὶ τῶν χοιράδων καὶ τῶν ἑκτικῶν πυρετῶν. βλάπτει δὲ καὶ τὰς κυούσας καὶ τὰς θηλαζούσας καὶ καταμηνίων ἀγωγόν ἐστιν.

Περὶ σινάπιος[7].

Τὸ σίνηπι[8] θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὸ μέσον τῆς τετάρτης ἀποστάσεως. ἀναλυτικόν τε καὶ διαφορητικὸν ὑπάρχει τῆς ἐν τῇ κεφαλῇ καὶ τῷ στομάχῳ ὑγρότητος[9]. ὠφελεῖ[10] τε πρὸς τὰς ἀπὸ ὑγρότητος καὶ[11] πνεύματος σπληνικὰς διαθέσεις καὶ πρὸς τὰς δι' ὑπερόπτησιν φλέγματος[12] τεταρταϊκὰς[13] νόσους καὶ τὰς ἀπὸ φλέγματος ποδάγρας. βλάπτει δὲ τὴν ὄψιν καὶ τὴν θερμὴν κεφαλὴν καὶ τὸ θερμὸν ἧπαρ. συνεργεῖ τε περὶ τὴν πέψιν καὶ τὴν ἀνάδοσιν τῶν παχυμερεστέρων τροφῶν, τήκει τε τὰς ἐν τῇ γαστρὶ ὑγρότητας. καταπλασσόμενόν[14] τε ταῖς

1) ἀρθρητίδας C 2) παρ' ἴδοῖς B παριδεῖν I F παρϊδῆ C 3) καὶ — διαθέσεις om F 4) αἱμορροῖσεσι I F αἱμορροοῦσι C 5) ταῖς γαστρορροίαις I om F 6) τεινασμῶν C M 7) σίνηπι I K σινίπεος C 8) σίναπι B M σίνιπι C 9) ὑγροτήτων I 10) ὠφ. — ὑγρ. om B C 11) ἢ B 12) φλ. τ. ν. κ. τ. ἀπὸ om B 13) τεταρτικὰς I F 14) καταπασσόμενον M

λέπραις ἀλλοιοῖ πρὸς τὸ βέλτιον καὶ τὰς δι' ὑγρότητα[1] βαρυνομένας γλώττας ξηραίνει. μετὰ δὲ μέλιτος πρὸς βῆχας λυσιτελεῖ μεταλαμβανόμενον. σὺν δὲ ἰσχάσι τοῖς ἰσχιαδικοῖς[2] καταπλασσόμενον καὶ τοῖς σπληνικοῖς ἐπιτήδειόν ἐστιν. ἕλκει γὰρ τὰ ἔνδον ἐπὶ τὴν τοῦ σώματος ἐπιφάνειαν. θυμιώμενον δὲ διώκει τοὺς ὄφεις.

Περὶ στάχου.

Τὸ στάχος θερμόν ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηρὸν δὲ κατὰ τὴν δευτέραν συμπληρουμένην. ἁρμόττει δὲ πρός τε τὸν στόμαχον καὶ τὸ ἧπαρ. μεταλαμβανόμενον τε καὶ ἔξω ἐπιτιθέμενον καὶ τὰ οὖρα κινεῖ. καὶ τὰ κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα ῥεύματα ξηραίνει, καὶ πρὸς τούτοις ἔτι καὶ τὰ κατὰ τὴν κεφαλὴν καὶ τὸν θώρακα. τὴν δὲ τῶν καταμηνίων ἄμετρον ῥύσιν ἐπέχει ἰδιότητί τινι. καὶ τοὺς νεφροὺς βλάπτει. κρεῖττον δὲ στάχος τὸ ὑπομέλαν τὴν χροιάν, πλήν τινες ἀπέχονται τῆς τούτου χρήσεως διὰ τὸ γίνεσθαι ἐν αὐτῷ δραστήριόν τι δηλητήριον ὀνομαζόμενον παρὰ τῶν Ἰνδῶν, ὅπερ οὐ μόνον πινόμενον ἀλλὰ καὶ ἱδρῶντι σώματι ἐπιτιθέμενον ἀναιρεῖ, εἰ τάχα καὶ ἀκριβῶς ἐκκαθαίρεται παρὰ τῶν ἐγχωρίων. δεδίασι γὰρ οἱ μὴ χρώμενοι τοῦτο μήποτε κατὰ λήθην κατελείφθη τι ἐν αὐτῷ τοῦ δηλητηρίου.

Περὶ σαμψύχου.

Τὸ σάμψυχον θερμόν ἐστι καὶ ὑγρὸν[3] κατὰ τὴν δευτέραν ἀπόστασιν. ὠφελεῖ δὲ πρὸς τὰς ἀπὸ φλέγματος κεφαλαλγίας, κωλύει δὲ ἰδιότητί τινι ὀσφραι-

1) ὑγρότητος B C M 2) ἰσχιακοῖς B M ἰσχιδιακοῖς H
3) ξηρὸν M

νόμενον[1] τὴν κύστιν, ξηραίνει δὲ τὰ ἐκ τῆς κεφαλῆς ῥεύματα. τῷ δὲ τοῦ σκορπίου δήγματι[2] μετὰ ὄξους καὶ μέλιτος[3] ἐπιτιθέμενον παύει τὴν ὀδύνην.

Σπάρτος[4].

Ὁ σπάρτος ᾧ τὰς ἀμπέλους δεσμοῦσι. τούτου ὁ καρπὸς καὶ τὸ ἄνθος ποθέντα σὺν μελικράτῳ ὀβολοὶ πέντε καθαίρει ἄνω ὥσπερ ἐλλέβορος λευκὸς ἀκινδύνως. ὁ δὲ καρπὸς καὶ κάτω καθαίρει, αἱ δὲ ῥάβδοι καὶ ἰσχιάδας ὠφελοῦσι.

Στιχάς[5].

Στιχὰς ἐκφράττει καὶ λεπτύνει καὶ ῥύπτει καὶ ῥωννύει τὰ σπλάγχνα πάντα καὶ ὅλην τοῦ ζῴου τὴν ἕξιν.

Ἀρχὴ τοῦ τ.

Περὶ τυροῦ[6].

Οἱ τυροὶ πάντες κακόχυμοι[7] καὶ[8] δύσπεπτοι καὶ ὀξυρεγμιώδεις, καὶ φύσης[9] ὑποπιμπλῶντες[10] τὴν γαστέρα τῷ[11] διαχωρῆσαι πονήρως[12], καὶ φλεγματώδεις καὶ καυσώδεις τῇ κοιλίᾳ. προσλαμβάνουσι γὰρ ἀπὸ τῆς πιτύας[13] δριμύτητα[14]. χρονίσας δὲ ὁ τυρὸς γίνεται[15] καὶ θερμότερος καὶ καυσωδέστερος καὶ δυσπεπτότερος καὶ κακοχυμώτερος καὶ πρὸς τὴν[16]

1) τὰς κατὰ τοὺς ὀφθαλμοὺς ἐπιχύσεις. βλάπτει δὲ μεταλαμβανόμενον τὴν κύστιν κτλ. addit B 2) δήγματα K 3) καὶ μέλιτος om B M 4) om B 5) om B στοιχὰς I 6) τυρῶν C τυροί H 7) κακοί B 8) om et post δυσπ. inser γάρ εἰσι I C 9) φύσας B M 10) ὑποεμπιμπλῶνται M B ἐμπιμπλῶσι I 11) καὶ B 12) πονηροὶ B M τὴν διαχώρησιν πονηροὶ C 13) πίτυος I 14) δριμύτητος C 15) γίνεται — δυσπεπ. om C 16) τ. ἐν τοῖς νεφ. τῶν λιθ. γεν. B

τῶν λίθων ἐν τοῖς νεφροῖς γένεσιν πλεῖον βλαβερός[1]. ἐδείχθησαν γὰρ οἱ λίθοι γενόμενοι, ὅτε συνέλθῃ πάχος χυμῶν θερμοτέρων[2]. φευκτέον[3] οὖν μάλιστα τὸν τοιοῦτον τυρὸν ὡς μηδὲν ὅλως ἀγαθὸν[4] ἔχοντα μήτε εἰς πέψιν μήτε εἰς ἀνάδοσιν μήτε εἰς οὔρησιν ἢ ὑπαγωγὴν τῆς γαστρός, ὥσπερ οὐδ' εἰς εὐχυμίαν. ἧττον δὲ μοχθηρὸς ὁ μήτε παλαιὸς μήτε δριμύς. ὁ δὲ νέος τῶν τοιούτων κρείττων[5]. μέσος γάρ ἐστι τοῦ παλαιοῦ[6] τυροῦ καὶ τοῦ γάλακτος, καὶ διὰ τοῦτο καὶ εὐπεπτότερος τοῦ παλαιοῦ καὶ εὐχυμώτερος, καὶ μάλιστα ὁ μαλακὸς καὶ χαῦνος[7] καὶ μὴ ἔχων ἰσχυρὰν ποιότητα ὑπερβάλλουσαν[8] δέ τι μικρὸν τὴν γλυκύτητα, συμμέτρως τε μετέχων ἁλῶν. δεῖ δὲ τοῦτον σὺν μέλιτι προσφέρεσθαι διὰ τὸ τάχιον ἀναδοθῆναι, καὶ μάλιστα τοὺς ψυχροὺς τὴν κρᾶσιν. ὁ δὲ παλαιότατος[9] τυρὸς ὁ τὴν ὑγρότητα πάντῃ[10] ἀποβαλών, ὡς εὔθρυπτος γενέσθαι διὰ στέρησιν τῆς συνεχούσης τὰ μέρη αὐτοῦ ὑγρότητος, κάκιστος. ὁ δὲ σπογγώδης τυρὸς καὶ ἠριωμένος[11] καὶ ἡδὺς τῶν ἄλλων, κρείττων καὶ μάλιστα ἐὰν καὶ νεαρώτερος ᾖ, οἵ τινές εἰσι τῶν ἀπὸ Παφλαγονίας μετακομιζομένων[12]. ὁ μὲν οὖν νέος[13] τυρὸς τὴν γαστέρα προτρέπει, ὁ δὲ παλαιὸς ἐπέχει ταύτην καὶ μάλιστα εἰ μετὰ τὸ ἑψηθῆναι ὕδατι ὀπτηθῇ.

1) *βλ. καὶ καυσωδέστερος* C 2) *θερμοτάτων* C corr I in *θερμότητι* quod legit K 3) *φυλαττέον* I *φυλακτέον* B C M F *φυκτέον* H 4) om C 5) *κρεῖττον* I K 6) *γαλ. κ. τ. παλ. τυρ.* B et L pag. 49 7) *ἔχων δὲ ὑπερβάλλουσαν μικρὸν τὴν γλυκύτητα, συμμέτρως δὲ μετέχων ἁλῶν* B M 8) *ὑπερβ. — γλυκ.* uncis incl. K 9) *παλαιὸς* B C 10) *πάντως* I 11) *ἠρεωμένος* I F *ἠραιωμένος* B M *ἠριωμένος* H K (?) 12) *ἀποκ.* K *διακ.* I C 13) *νεώτερος* C

Περὶ ταῶνος[1].

Ἡ τῶν ταῶν[2] σὰρξ ἰνώδης καὶ περιττωματική ἐστι καὶ δύσπεπτος καὶ κακόχυμος. λέγεται δὲ ὡς τὸ ἀπόζεμα αὐτῆς ἰδιότητί τινι πλευριτικοὺς ὀνίνησι, καὶ μάλιστα εἰ λιπῶδες εἴη. τὸ δὲ στέαρ αὐτῆς ἅμα χυλῷ πηγάνου καὶ μέλιτος[3] λυσιτελεῖ τὰ[4] μάλιστα πρὸς τὰς διὰ ψυχρὸν χυμὸν κωλικὰς διαθέσεις. τὰ δὲ ὀστᾶ τούτου καυθέντα καὶ ὄξει λειοτριβέντα καὶ ἐπιχρισθέντα πρὸς λέπρας καὶ ἀλφοὺς ὀνίνησιν.

Περὶ τρίγλης.

Ἡ τρίγλη[5] τῶν πελαγίων ἐστὶ ἰχθύων καὶ σκληροσάρκων. τρέφει τοιγαροῦν ὅταν πεφθῇ καλῶς τῶν ἄλλων ἰχθύων[6] μᾶλλον. τὸ γὰρ σκληρότερον ἔδεσμα πλεῖον τρέφει τῶν ὑγροτέρων καὶ[7] μαλακωτέρων καὶ μάλιστα ὅταν καὶ τὴν οὐσίαν οἰκείαν ἔχει τῷ τρεφομένῳ σώματι. κρίνεται δὲ τοῦτο τῷ ἡδέως ἐσθίεσθαι. θαυμάζω δὲ τὸν Γαληνὸν θαυμάζοντα τοὺς τὰς μεγάλας τρίγλας ὠνουμένους[8], ὡς τῶν μικρῶν ἡδυτέραν ἐχούσας τὴν σάρκα καὶ εὐπεπτοτέραν. εὐπεπτότεραι μὲν γὰρ αἱ μικρότεραι ἀληθῶς[9], ἡδύτεραι δ' οὐδαμῶς. φησὶ δὲ ὡς καὶ τὸ ἧπαρ τῆς μεγάλης τρίγλης διὰ θαύματος ἦν, καὶ τροφὴ περισπούδαστος τοῖς κατὰ τὸν αὐτὸν καιρόν, νῦν δὲ οὐκ ἐσθίεται. γίνονται δὲ ἄρισται τρίγλαι κατὰ τὴν καθαρὰν θάλατταν, ὥσπερ[10] καὶ οἱ λοιποὶ πάντες ἰχθύες, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τροφάς. αἱ γοῦν τὰς καρκινάδας ἐσθίουσαι καὶ[11] δυσώδεις εἰσὶ καὶ

1) *ταώς* K I H *ταώνων* M 2) *ταώνων* B 3) *μέλιτι* B 4) *ἐς τὰ* B M 5) *τρίγλα* K 6) *μαλ. ἰχθ.* K 7) *κ. μ.* om B 8) *ὠνημ.* K 9) *ἀλ. αἱ μικρ.* K 10) *ὥσπ. — τροφάς* om B M 11) *κ. δ. εἰσὶ* om B M

ἀηδεῖς[1] καὶ δύσπεπτοι καὶ κακόχυμοι. διαγινώσκονται δὲ πρὸ μὲν τῆς ἐδωδῆς διὰ τῆς ἀναπτύξεως τῆς κοιλίας, ἐν δὲ τῷ ἐσθίειν κατὰ τὴν πρώτην[2] ὀδμὴν καὶ γεῦσιν. ἡ γὰρ καρκινὰς ζωίφιόν[3] ἐστι σμικρότατον ἐοικεῖα καρκίνῳ ὑπόξανθος[4] τὴν χροιάν. λέγεται δὲ ὡς καὶ συνεχέστερον χρωμένη ἡ τρίγλα ἀργοὺς πρὸς συνουσίαν ποιεῖ. ὅπως δὲ σκευαζομένη δηλητήριον[5] γίνεται παραλειπτέον[6], ἵνα[7] μὴ κατὰ τύχην περιπέσῃ τὸ παρὸν σύγγραμμα εἴς τινας τῶν τῆς θείας προνοίας ἐπιστρεφομένων.

Περὶ ταρχοῦ.

Τὸ ταρχὸν θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν. ὑπάρχει δὲ δύσπεπτον διὰ τὸ γεώδη[8] φύσιν ἔχειν αὐτοῦ τὸ σῶμα· πρὸς ἣν ἀφορῶντές[9] τινες ψυχρὸν ἔφησαν[10] τοῦτο. ἔστι δὲ καὶ φυσῶδες[11] καὶ κακόχυμον, καὶ δεῖ μόνον[12] τὰ τούτου φύλλα προσφέρεσθαι μετὰ ἡδυόσμου ἢ σελίνου. ἐμποιεῖ δὲ ἐρυγὰς καὶ ἐπιπολάζει τῷ στόματι τῆς γαστρός. πέφυκε γὰρ καὶ ἀντιφάρμακον πρὸς τὰς[13] τῶν ἰοβόλων δήξεις μεταλαμβανόμενον. ἔστι δὲ καὶ κεφαλαλγικὸν καὶ νάρκην ἐργάζεται περὶ τὴν τῆς γεύσεως αἴσθησιν· καὶ διὰ τοῦτο προτρέπουσιν οἱ ἰατροὶ τοῖς[14] δυσποτοῦσι πρὸ τῆς τοῦ[15] καθαρσίου μεταλήψεως προσφέρεσθαι τοῦτο, ὥστε μὴ αἰσθάνεσθαι τῆς ἀηδίας τοῦ πόματος.

1) ἀϊηδεῖς K 2) εὐθέως K 3) ζωύφιον K 4) ὑπόξανθον B 5) om B 6) καταλειπτ. B M 7) διὰ τὸ — περιπεσεῖν — εἴς τινα τὸν τῆς θείας δίκης μὴ ἐπιστρεφόμενον B M 8) γαιώδη B 9) ἀμφο. I 10) εἶναι add I ἔφασον C 11) δυσῶδες C 12) μόνα B 13) τὰ — δήγματα C 14) τοῖς δυσπ. om K 15) τῆς καθάρσεως H K

Περὶ τετραγγούρων[1].

Τὰ λεγόμενα τετράγγουρα ψυχρά ἐστι καὶ ὑγρὰ κατὰ τὴν δευτέραν ἀπόστασιν ἐπιτεταμένην, τινὲς δὲ καὶ ἐν τῇ τρίτῃ ταῦτα τεθήκασιν[2]. ἐπιγεννῶσι δὲ φλέγμα γλίσχρον ἐν τῇ γαστρί, ὅπερ καὶ ὠμὸν ἀναδίδοται εἰς[3] τὰς φλέβας, καὶ διὰ τοῦτο οἱ συνεχέστερον τούτοις χρώμενοι ἐπισυναγομένων[4] αὐτοῖς[5] διὰ χρόνου παχέων[6] χυμῶν κειμένων ἐν ταῖς φλεψὶ καὶ ταῖς λοιπαῖς τοῦ σώματος κοιλότησιν ἁλίσκονται χρονίοις πυρετοῖς. τὸ δὲ σπέρμα αὐτῶν διουρητικόν ἐστι, πλὴν οὐχ ὡς τῶν πεπόνων. φθείρονται[7] δὲ τάχιστα ἐν τῇ γαστρί. κρείττονα δὲ ἐν τούτοις τὰ μικρὸν ἔχοντα τὸ σπέρμα. ὠφελοῦσι δὲ τοὺς θερμοὺς καὶ ξηροὺς στομάχους, καὶ ἐπὶ καυσωδῶν πυρετῶν μετὰ ὄξους προσφερόμενα πάνυ λυσιτελεῖ. ἴδιον δὲ αὐτῶν ἐστι τὸ καταπαύειν τὰς διὰ θερμότητος[8] τῆς γαστρὸς ναυτίας. δεῖ δὲ τὰ τούτων ἐνδότερα ἐσθίειν. τὰ γὰρ ἔξωθεν πάνυ δύσπεπτα καὶ κακόχυμα καὶ σχεδὸν δηλητηριώδη. ἔχουσι δὲ καὶ ἑτέραν[9] ἰδιότητα τὸ ἀναφέρειν τοὺς λειποθυμοῦντας[10] δι' ὑπερβολὴν θερμότητος. εἰ δὲ ἐντύχωσι φλέγματι ἐν τῇ γαστρί, ναυτίας ποιοῦσι καὶ κωλικὰς διαθέσεις ἐργάζονται καὶ ὑποχονδριακὰ[11] πάθη.

Ἀρχὴ τοῦ υ.

Περὶ τῶν ὕδνων[12].

Τὰ ὕδνα ψυχρά ἐστι κατὰ τὴν πρώτην[13] ἀπόστασιν, ὑγρὰ[14] δὲ κατὰ τὴν δευτέραν. ἀπογεννᾷ δὲ

1) τετραγκούρων C 2) τεθείκασιν B 3) πρὸς B M 4) ἀποσ. B 5) om I 6) om I C 7) φέρονται B 8) θερμότητα K 9) ἑτέρας ἰδιότητας I 10) λυποθ. B 11) ὑποχονδρικὰ M 12) περὶ ὕδνα C 13) δευτέραν *I C F* τρίτην K 14) ὑ. δ. κ. τ. δευτ. om I F H

ὠμὸν χυμόν. ἔστι δὲ καὶ κακόχυμα. πολλοὶ δὲ ἐπὶ τῇ συνεχεῖ τούτων χρήσει κωλικαῖς διαθέσεσι καὶ ἐπιληψίαις[1] καὶ ἀποπληξίαις περιπεπτώκασι[2]. δεῖ οὖν πρὸ τῆς ἑψήσεως ταῦτα ἀκριβῶς καθαίρειν καὶ ὕδατι ἐναποβρέχειν ἐφ' ἱκαναῖς ὥραις, εἶτα ἕψειν[3] ὕδατι δι'[4] ἅλατος καὶ ὀριγάνου καὶ πηγάνου, καὶ ἀρτύειν μετὰ τὴν ἕψησιν ἐλαίῳ καὶ[5] θρύμβῳ καὶ πεπέρει καὶ γάρῳ. μάλιστα[6] δὲ ἡ συνεχὴς τούτων χρῆσις κωλικὰς ἐμποιεῖ[7] νόσους καὶ ἀπεψίας. τὰ δὲ ξηρὰ ἔτι βλαβερώτερα καὶ δυσπεπτότερα.

Περὶ ὑδάτων[8].

Αἱ καθόλου τῶν ὑδάτων διαφοραί εἰσι πέντε· ὄμβριόν τε καὶ πηγαῖον καὶ φρεατιαῖον[9] καὶ ποτάμιον καὶ λιμναῖον[10]. τούτων τὸ μὲν ὄμβριον κουφότατον καὶ εὐμεταβλητότατον, πλὴν πρὸς πυρετοὺς καὶ[11] χολέρας καὶ ἰκτέρους ἀνάρμοστον[12]. τρέπεται[13] γὰρ ῥᾳδίως καὶ ἐκχολοῦται. χρονίζον δὲ βραδύπορον γίνεται καὶ δυσδιαχώρητον. γεννᾷ δὲ κατάρρους μάλιστα εἰ ψυχρὸν πίνοιτο. τὰ δὲ πηγαῖα[14], ὅσων αἱ πηγαὶ πρὸς ἄρκτον ἐρρώγασιν[15] ἐκ πετρῶν λειβόμεναι τοῦ[16] ἡλίου ἀπεστραμμέναι[17], βραδύπορά εἰσι καὶ βραδέως θερμαίνεταί τε καὶ ψύχεται. ὅσων δ' ἐρρώγασιν αἱ πηγαὶ ἀπὸ τῆς θερινῆς ἀνατολῆς[18],

1) ἐπ. ἐργάζοντα C 2) om C 3) ἐγχεῖν ἐν F 4) μετὰ I 5) καὶ θρ. om C 6) μαλ. — ἀπεψίας om B μαλ. — δυσπεπτότερα C 7) ἐργάζεται K 8) ὕδωρ I K π. ὕδατος C 9) φρεάτιον B M φρεάττειον C 10) λημναίων C 11) κ. χ. post κ. ἰκ. B 12) εὐάρμοστον F 13) ἐκκρίνεται I F 14) π. ὕδατα ὅσων I τὸ δὲ πηγαῖον ὅσου (ον) K ὅσαι B τῶν δὲ πηγῶν ὅσον C 15) ἐρρ. — ἡλίου om H K 16) τὸν ἥλιον I C 17) ἀπεστραμμένον I 18) καὶ τῆς χειμερίου δύσεως ἀγαθά ἐστι ceteris omissis I F H hic finis cap. C

ταῦτα ἄριστα· χείρω[1] δ' ἁπάντων τὰ ἀπὸ τῆς χειμερινῆς[2] δύσεως[3]. τὸ δὲ φρεάτιον ψυχρὸν γεῶδες καὶ δυσανάδοτον, καὶ διὰ τοῦτο τοῖς καυσομένοις[4] τὸν στόμαχον ἢ γαστέρα ἐπιτηδειότερον τοῦ πηγαίου. ποτάμια δὲ ὕδατα καὶ λιμναῖα ἅπαντα κακὰ πλὴν τοῦ Νείλου. τοῦτο[5] γὰρ ἄριστον. καὶ γὰρ πινόμενον ἡδὺ καὶ μέτριον ἐν τῇ κοιλίᾳ διατρίβει[6] καὶ ἄδιψον, καὶ εἰ ψυχρὸν πίνοιτο ἀλυπότατον[7] καὶ εἰς πέψιν καὶ ἀνάδοσιν χρήσιμον. τὸ δὲ τῶν ἄλλων ποταμῶν τὸ ὕδωρ δυσκατέργαστον καὶ διψῶδες καὶ μάλιστα ὅταν μοχθηρὰ χωρία διοδεύῃ[8]. ἀμείνους δέ εἰσι τῶν ποταμῶν ὅσοι διὰ[9] πηγῶν ἀενναάων[10] ῥέουσι καὶ ὅσοι ἀμιγεῖς εἰσιν ἄλλοις ποταμοῖς. τὸ δὲ λιμναῖον[11] καὶ οἷον νενεκρωμένον διὰ τὴν στάσιν[12] καὶ ἀκινησίαν κάκιστον, ὥστε οὐδέποτε, παρόντος ἑτέρου ὕδατος, δοτέον τοῦτο τοῖς ἀσθενοῦσιν. ὅσα δὲ τῶν ὑδάτων στύψιν[13] ἢ ἁλυκότητα ἤ τινα ἄλλην παρεμφαίνει[14] ποιότητα, ἢ δύσοσμά[15] εἰσιν ἢ μοχθηρὰ ζωίφια[16] τρέφει ἢ ἐν μετάλλοις γίνονται ἢ πλησίον θερμῶν ἅπαντα πονηρά. καθόλου δὲ πᾶν[17] ὕδωρ βραδύπορον δύσπεπτον φυσῶδες καὶ κατάρρων ποιητικὸν καὶ μάλιστα τὸ ψυχρόν, ταῖς δὲ θερμαῖς κράσεσι[18] καὶ ἐπὶ[19] καυσωδῶν πυρετῶν πάνυ ὠφέλιμον. τὸ γοῦν κοῦφον ὕδωρ οὐ τῷ σταθμῷ δεῖ κρίνειν ἀλλὰ τῷ[20] ταχέως θερμαίνεσθαι καὶ ψύχεσθαι καὶ καθαρώτατον καὶ εἰλικρινὲς εἶναι καὶ τῷ[21] μὴ ἐμ-

1) χείρονα K 2) χειμερίας K 3) ἀνατολῆς κ. δύσεως B 4) σφόδρα add I 5) τούτου K 6) διάγει K 7) ἀλυπότερον B C 8) διοδεύει τύχῃ B C διοδεύουσιν K 9) δ. π. om B 10) ἀενναάως B C ἐνναάων K 11) ὕδωρ βαρὺ add. B C 12) σύστασιν K 13) ψύξιν B C 14) παρεμφαίνων K παρεμβαίνει C 15) δυσώδη H 16) ξωύφια I B H K 17) ἅπαν B 18) καύσεσι B *19) ἐπὶ τῶν* H 20) τὸ B 21) τὸ B

φαίνεσθαι ἐν τούτῳ ἐναντίαν ποιότητα. τὰ δὲ ἐκ χιόνων ἢ παγετῶν ἀναλυθέντα ὕδατα κάκιστα. αἱ δὲ τῶν ὑδάτων ἐναλλαγαὶ βλάπτουσι, καὶ μάλιστα τῶν ποταμίων. ἐπὶ δὲ θερμῆς δυσκρασίας οὐκ ἄλλο τι ὀνησιμώτατόν[1] ἐστιν ὡς τὸ ὕδωρ. δεῖ δὲ τὸ μὴ εἰλικρινὲς ὕδωρ προέψειν εἶτα ψυχθὲν[2] πίνειν.

Περὶ ὕσκας[3].

Ἰχθὺς ὁ κοινῶς[4] ὕσκα ὀνομαζόμενος φλεγματικὸν ἀπογεννᾷ χυμόν, οὐ[5] κακόχυμος δέ ἐστι, διὰ τὸ ἡδέως σχεδὸν ἅπαντας τοῦτον[6] προσφέρεσθαι ὡς οἰκειότητά τινα ἐχούσης τῆς σαρκὸς αὐτοῦ[7] πρὸς τὴν ἡμετέραν φύσιν. οἶμαι δὲ ὅτι ἀπὸ[8] τούτου μετείληπται[9] τοὔνομα ἀπὸ[10] τοῦ ὗς, ὃ σημαίνει τὸν χοῖρον, ὅτι τοιαύτην τροφὴν ἐμποιεῖ τῷ[11] σώματι τῷ ἡμετέρῳ παρὰ τῷ τῶν ἰχθύων γένει, οἷαν τὸ χοίρειον κρέας παρὰ τοῖς χερσαίοις, οὐχ ὁμοίαν μέντοι ἀλλ' ἀνάλογον. δεῖ δὲ τοῦτον ἀρτύειν θερμοτάτοις ἀρτύμασι καὶ οἶνον ἐπιπίνειν[12] λεπτότατον καὶ παλαιότατον.

Ὑδροσάτον[13].

Ὑδροσάτον[14] ψυχρόν ἐστι καὶ γαστρὸς ῥωστικόν, δι' ἣν ἔχει στύψιν ἐκ τοῦ ῥόδου. ὠφελεῖ δε τοὺς τὴν κρᾶσιν θερμοὺς καὶ τὴν δίψαν καταπαύει, καὶ ἐπὶ τῶν πυρετῶν ἀντὶ οἴνου χρώμενον τὰ μέγιστα λυσιτελεῖ.

1) ὀνήσιμον B C 2) ψυχρὸν B C 3) ὕσχα I 4) κονὸς B 5) om I C F 6) τοῦτο B 7) αὐτῶν I 8) διὰ τοῦτο I C F 9) μετείληφες B M 10) αὐτοῦ C 11) τῷ ἡ. σωμ. B C 12) ἐπιπίνειν παλαιόν B M ἐπ. παλαιὸν κ. λεπτὸν C 13) περὶ ῥοδοδροσάτου B π. ὑδροσάτου C τὸ ῥοδοδροσάτον M 14) τὸ ῥοδοδροσάτον B

Περὶ φοινίκων.

Φοίνικες θερμοί εἰσι κατὰ τὴν δευτέραν ἀπόστασιν, ὑγροὶ δὲ κατὰ τὴν πρώτην. δύσπεπτοι δ' εἰσὶ καὶ κεφαλαλγεῖς πλείονες[1] *βρωθέντες. ἔνιοι δὲ καὶ δῆξιν τινὰ ἐμποιοῦσι τῷ στόματι*[2] *τῆς κοιλίας, οἵ*[3] *δὴ καὶ μᾶλλόν εἰσι κεφαλαλγεῖς. ὁ δὲ ἐξ αὐτῶν ἀναδιδόμενος εἰς τὸ στόμα χυλὸς*[4] *παχύς ἐστιν. ἔχει δέ τι καὶ γλίσχρον*[5], *ὅταν ὁ φοίνιξ λιπαρὸς ᾖ. ὅταν δὲ τῷ πάχει καὶ γλίσχρῳ χυλῷ*[6] *καὶ γλυκὺς*[7] *μιχθῇ, τάχιστα μὲν ὑπ' αὐτοῦ τὸ ἧπαρ ἐμφράττεται. εἰ δὲ καὶ φλεγμαίνῃ ἢ ἐσκιρρωμένος ᾖ, βλάπτεται*[8] *ἐσχάτως ὑπὸ τῆς ἐδωδῆς αὐτῶν. ἐφεξῆς δὲ τῷ*[9] *ἥπατι καὶ ὁ σπλὴν ἐμφράττεται καὶ*[10] *βλάπτεται. πολὺ*[11] *δὲ δὴ μάλιστα βλάπτουσιν οἱ χλωροὶ φοίνικες εἰς ἅπαντα. πρὸς δὲ καὶ φύσης ἐμπιπλῶσι τὴν γαστέρα, ὠμὸν δὲ χυμὸν καὶ*[12] *ῥίγη δυσεκθέρμαντα ἀπογεννῶσι. πάντες οἱ φοίνικες τῶν οὔλων καὶ τῶν ὀδόντων εἰσὶ βλαπτικοί. κρείττονες δὲ τῶν λοιπῶν οἱ στύψεώς τινος μετέχοντες καὶ σκληρότητος σὺν γλυκύτητι μετρίᾳ, καὶ μὴ πάνυ μελιτώδεις ὄντες. οἱ δὲ ἐν ταῖς ψυχραῖς χώραις γινόμενοι, χείριστοι διὰ τὸ μὴ πεπαίνεσθαι, οἳ καὶ*[13] *ῥιγοπυρεκτικὰς ἐργάζονται βλάβας*[14] *καὶ νόσους καὶ πλείονας τὰς ἐμφράξεις. κρείττονες δὲ τῶν ἐρυθρῶν οἱ κιρροί. οἱ δὲ αὐστηροὶ φοίνικες θερμοί εἰσι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηροὶ δὲ κατὰ τὴν δευτέραν. οὐ μικρὰ γὰρ*[15] *διαφορὰ παρὰ τοῖς φοίνιξίν ἐστιν. οἱ μὲν*

1) *πλείω* I C 2) *οἳ — κεφαλ.* om B 3) *σώματι* M 4) *χυμός* B M 5) *χυμὸν γλυκεῖ μιχθείς, τάχιστα* B M 6) *χυμῷ* K H 7) *γλυκὺ συναναμιχθῇ* I 8) *μαλάττεται* C 9) *τὸ ἧπαρ* B M 10) *καὶ βλ.* om C 11) *πολλῷ* corr F C 12) *κ. ῥ. δυσ.* om B M 13) *δὲ* K 14) *βλ. κ.* *om I K* 15) *δὲ* I

γὰρ ξηροὶ καὶ στύφοντες, ὡς οἱ Αἰγύπτιοι, οἱ δὲ μαλακοὶ καὶ ὑγροὶ καὶ γλυκεῖς, ὡς οἱ ἐν Βάκτροις. μεταξὺ δὲ ἀμφοτέρων[1] τῶν γενῶν οἱ λοιποί εἰσι φοίνικες. τὸ δὲ ἐξ ἁπάντων γενόμενον[2] αἷμα θολῶδές ἐστιν. ὁ[3] δὲ Ῥοῦφος φησίν, ὡς ἡ συνεχὴς τούτων χρῆσις πληροῖ[4] τὴν κύστιν. σὺν[5] δὲ κώνων καρπῷ προσφερόμενοι λεαίνουσι τὸν[6] φάρυγγα καὶ εὐεξίαν τοῦ σώματος ἐργάζονται, καὶ μάλιστα εἰ[7] ψυχρά ἐστιν ἡ κρᾶσις. δεῖ δὲ πάντῃ[8] τούτων ἀπέχεσθαι τοὺς[9] ἐμφράξεσι ῥᾳδίως ἁλισκομένους[10] ἢ κυνάγχαις ἢ ὀφθαλμίαις ἢ ὀδονταλγίαις.

Περὶ φαβάτων[11].

Οἱ κύαμοι οἱ μὲν ξηροὶ ψυχροί εἰσι κατὰ τὴν πρώτην ἀπόστασιν, οἱ δὲ χλωροὶ ψυχροὶ καὶ ὑγροί. ἐμποιοῦσι δὲ σάκρα οὐκ ἐσφιγμένην καὶ πυκνὴν ἀλλὰ χαύνην. φυσῶδες δὲ ἔδεσμά εἰσι καὶ αἴσθησιν παρέχουσι τοῖς προσέχουσι[12] τάσεώς τινος ὑπὸ[13] πνεύματος καθ' ὅλον[14] τὸ σῶμα καὶ μάλιστα ὅταν ἀήθης[15] τις τούτων μεταλάβῃ. ἑψόμενοι δὲ μετὰ τὸ ἐκλεπισθῆναι[16] τὸ πλεῖστον φυσῶδες ἀποτίθενται. ἔχουσι δέ τι[17] καὶ ῥυπτικόν. τὸ γὰρ ἄλευρον αὐτῶν τὸν ῥύπον ἀποσμήχει. καὶ διὰ ταύτην τὴν δύναμιν οὐδὲ τῇ γαστρὶ ἐμβραδύνουσι καθάπερ τὰ παχύχυμα καὶ γλίσχρα. χλωροὶ δὲ ἐσθιόμενοι τὸ κοινὸν ἀπάν-

1) τῶν δύο H K 2) γεννώμενον B 3) ὁ δὲ — ἡ κρᾶσις om C 4) πληφοῖ K πληγοῖ I πλύνει B M πληροῖ F 5) σὺν — κρᾶσις om B M 6) τὴν H 7) οἷς H 8) πάντας B M πάντων C 9) ταῖς B 10) ἁλισκομένη B 11) φάβατον ἤτοι κύαμος I π. φαβάτου C 12) πάσχουσι B M 13) ὑπὸ π. om B 14) καθόλον B κ. ὅ. τοῦ σώματος M 15) ἀήδης I 16) ἐκλεπτυσθῆναι B M 17) τινα B

των ἔχουσι τῶν καρπῶν, ὅσους πρὸ τοῦ τελειωθῆναι[1] προσφερόμεθα τροφὴν ὑγροτέραν διδόντες τῷ σώματι, οὐ κατὰ[2] τὰ ἔντερα μόνον ἀλλὰ καὶ καθ' ὅλην τὴν ἕξιν. οὐ[3] μοχθηρὸν δέ ἐστι τὸ ἐξ αὐτῶν αἷμα κατὰ Γαληνόν, ἀλλ' οὐδ' ἐμφρακτικοί εἰσι. τῶν δὲ λοιπῶν ὀσπρίων τὰ ἄνω μᾶλλον[4] τῆς γαστρὸς μέρη ἐμπνευματούντων[5], οὗτοι μᾶλλον τὰ κάτω. καρηβαρικοί τέ εἰσι καὶ κόπου συναίσθησιν περὶ τὸ σῶμα ἐργάζονται. τὸ δὲ τούτων ἀπόζεμα λεαίνει τὸν θώρακα, σὺν ὄξει μεταλαμβανόμενον τὴν γαστέρα ἐπέχει. οἱ δὲ νεώτεροι κακοχύμους τούτους ἐδόξασαν, στοχασάμενοι[6] τοῦτο[7] ἐκ τοῦ ἀπογεννᾶσθαι ἐν αὐτοῖς ζωύφια, ἀεὶ γινομένων τῶν τοιούτων ἐκ σήψεως καὶ ἐκ κοπρίας καὶ ῥυπώδων ὑγροτήτων. δισχυρίζονται[8] δὲ οἱ τῆς δόξης ταύτης προϊστάμενοι, ὡς οὐ μόνον μεταλαμβανόμενοι θολοῦσι τὸν λογισμὸν οἱ κύαμοι[9] ἀλλὰ καὶ τὴν διάνοιαν ἀμβλύνουσι τῶν ἀναστρεφομένων διηνεκῶς, ἐν[10] ᾧ τόπῳ πλῆθός ἐστι τῶν φερόντων τούτους[11] φυτῶν, ὡς ἀτμῶν μοχθηρῶν καὶ σχεδὸν λοιμωδῶν ἀναδιδομένων ἐξ[12] αὐτῶν καὶ μολυνόντων[13] τὸν πέριξ ἀέρα, ὃς διηνεκῶς εἰσπνεόμενος μετατρέπει τὴν τοῦ ἐγκεφάλου κρᾶσιν, ἧς μετατρεπομένης καὶ αἱ λογικαὶ δυνάμεις ἀμβλύνονται. λέγουσι δὲ καὶ ὡς διὰ τὸ κακόχυμον ὀνείρους ταραχώδεις ἐργάζονται καὶ οὐκ ἀληθεῖς, καὶ[14] ὡς διὰ τὰς τοιαύτας αἰτίας οἱ Πυθαγόρειοι

1) τελειωθεῖναι ἐσθιόμενοι τροφὴν κτλ. B M 2) κατ' ἔντερον μόνον B κατ' ἐντέρων μ. C 3) om M 4) μάλλων B om C 5) ἐμποιοῦντα M 6) στοχασ. — ἀμβλύονται om C sec. man. in margine 7) τ. οὕτως ἐκ K τοῦ τοιούτου ἐκ B M τοῦτο ἀπὸ I 8) δισχυρίζουσι I 9) τοιοῦτοι K 10) ὡς ἐν τῷ τόπῳ ἐν ᾧ πλ. I 11) ταῦτα ἀγρῶν B M 12) ἐπ' αὐτῶν K H ἐξ αὐτῶν εἰς τὸν I 13) μολενόντων B 14) διὰ γοῦν ταύτας I F καὶ — καιρός om C

τούτων ἀπείχοντο, εἰ καὶ διαφόρους ἀπέδωσαν αἰτίας τῆς ἀποχῆς αὐτῶν, περὶ ὧν ἄρτι διεξιέναι οὐ καιρός. λέγεται δὲ ὡς καὶ τὸ τούτων ἀπόζεμα λεαίνει τὸν θώρακα καὶ τὴν τῶν λίθων κωλύει γένεσιν ἔν τε τοῖς νεφροῖς καὶ τῇ κύστει, καὶ ὡς ἰδιότητί τινι κωλύουσι τὰ ἀπὸ τῆς κεφαλῆς ἐπὶ[1] τὸ στῆθος κατερχόμενα ῥεύματα καὶ βῆχας σφοδροὺς[2] ἐμποιοῦνται. ὁ δὲ Γαληνὸς καὶ ὑγείας τούτους φησὶ φυλακτικοὺς εἶναι[3] ὡς μήτε κακοχύμους μήτε ἐμφρακτικούς. φασὶ δὲ καὶ ὡς ἑψόμενοι καὶ[4] χοιρείῳ στέατι μιγνύμενοι καὶ ποδαγρικοῖς[5] ἐπιπλασσόμενοι[6] ὠφελοῦσιν[7] ἱκανῶς.

Περὶ φακῶν.

Οἱ φακοὶ[8] ψυχροί εἰσι κατὰ τὴν πρώτην ἀπόστασιν, ξηροὶ δὲ κατὰ τὴν δευτέραν. παχύχυμοί τέ εἰσι καὶ αὐστηρᾶς μετέχοντες[9] ποιότητος[10]. εἰ γοῦν τις ἑψήσας αὐτοὺς ἐν ὕδατι προσενέγκηται[11] τὸ ὕδωρ σὺν ἐλαίῳ καὶ γάρῳ ἢ ἁλσί, διαχωρητικὸν γίνεται τὸ πόμα. δὶς δὲ ἑψόμενοι[12] ξηραίνουσι τὰ[13] κατὰ τὴν γαστέρα ῥεύματα[14] καὶ τόνον ἐντίθησι τῷ τε στομάχῳ καὶ τοῖς ἐντέροις καὶ πάσῃ τῇ γαστρί. διὰ τοῦτο οὖν ἐπιτήδειόν ἐστι ἔδεσμα κοιλιακοῖς[15] καὶ δυσεντερικοῖς. ἡ δὲ ἀφῃρημένη τὸ λέμμα[16] φακῆ[17] τὸ μὲν ἰσχυρὸν τῆς στύψεως ἀπόλλυσι[18], τροφιμω-

1) ἐπὶ τὸ στέρνον F 2) σφοδρὰς B 3) εἶναι om K εἶναι — ἐμφρ. om B 4) κ. χ. στ. om F 5) ποδαλγικοῖς B M 6) ἐπιτιθέμενοι I καταπλασσ. B M 7) λυσιτελοῦσιν B M 8) ἡ φακή I F 9) μετεσχηκότες M 10) δυναμέως καὶ π. I 11) προσενέγκειται τῷ ὕδωρ B M προσενέγκει τ. ὑ. σ. ἐ. καὶ σύρεει καὶ ἅλσι I F 12) ἡ δὶς ἑψ. I C K 13) μέν τὴν κοιλίαν καὶ τὰ κατ' αὐτὴν ῥ. I 14) δριμέα ῥεύματα C 15) κωλικοῖς M 16) ζέμα B I 17) om I C 18) ἀποβάλλεται I

τέρα δὲ γίνεται τῆς ἀπτίστου[1], βραδύπορος[2] οὖσα καὶ παχύχυμος, οὐ μὴν δὲ ξηραντικὴ[3] τῶν κατὰ γαστέρα ῥευμάτων, ὥσπερ[4] ἡ ἄπτιστος. οἱ γοῦν πλεονάζοντες ἐν τούτῳ τῷ ἐδέσματι τούς τε καλουμένους ἐλέφαντας ἔχουσι καὶ καρκίνους καὶ σκίρρους καὶ νεύρων ἀλγήματα καὶ τὰ μελαγχολικὰ δηλονότι[5] πάθη. ἐπιτήδειον δέ ἐστι τὸ παχὺ καὶ ξηρὸν αἷμα[6] μελαγχολικὸς[7] γίνεσθαι χυμός. οἷς οὖν ὑδατώδης τίς ἐστι ἐν ταῖς[8] σαρξὶ καχεξία, τούτοις μόνον ὠφέλιμον ἔδεσμα φακῆ[9], καθάπερ τοῖς ξηροῖς καὶ αὐχμώδεσι βλαβερώτατον. ὡσαύτως[10] δὲ καὶ τὴν ὄψιν ἀμβλύνει μὲν τὴν ὑγιεινῶς διακειμένην ὑπερξηραίνουσα[11], τὴν δὲ ἐναντίως ἔχουσαν ὀνίνησιν. οὐκ ἐπιτήδειος δέ ἐστιν εἰς τὰς ἐμμήνους καθάρσεις, παχὺ καὶ δύσρουν ἐργαζομένη τὸ αἷμα. πρὸς δὲ τούτοις ἐκκόπτει τὴν τῶν ἀφροδισίων ὄρεξιν, ξηραίνουσα τὴν γονήν, καὶ διὰ τοῦτο τοῖς σωφρονεῖν βουλομένοις λυσιτελεῖ περὶ[12] τούτου τὰ μέγιστα. ἔστι[13] δὲ καὶ δυσόνειρος διὰ τοὺς ἐξ αὐτῆς ἀναδιδομένους μελαγχολικοὺς ἀτμούς. σὺν δὲ ἡδυόσμῳ ἑψημένη τὸ πλεῖστον φυσῶδες ἀποβάλλει. τινὲς[14] δὲ καὶ σεῦτλον[15] τούτου χάριν ἐμβάλλουσιν αὐτῇ ἐν τῷ καιρῷ τῆς ἑψήσεως. ἡ[16] δὲ ἑψηθεῖσα φακῆ καλῶς λεανθεῖσα τραύματι ἐξ ἀκοντίου ἢ βέλους ἐπιγινομένῳ[17] ἐκκόπτει σφοδρῶς τὴν ῥύσιν τοῦ αἵ-

1) ἀψήτου B M 2) παχυχύμου οὔσης καὶ βραδυπόρου B M 3) ξηραντικῆς B M 4) ὥ. ἡ. ἀπτ. om B M ὥσπερ εὐθὺς εἰπών F ὡς ὄφθην (γ) εἶπον corr H 5) om C M 6) ἔδεσμα K H 7) μελαγχολικὸν γ. χυμόν C 8) τῇ γαστρὶ B C M 9) φακοί B om I 10) ὡσ. κ. τὴν ὑγ. διακ. ὀψ. ἀμ. ὑπ. B I 11) ὑποξ. C 12) πρὸς τοῦτο I 13) ἔστι — ἀτμοὺς om B M 14) ἔνιοι I 15) τεῦτλον I F 16) ἡ δὲ — ὀνίνησιν om C, οἱ φακοὶ B M 17) ἐπιγινομένου K τραύμασιν — ἐπιγινομένοις I

ματος. τὸ δὲ τῆς μικρᾶς φακῆς ἀπόζεμα λέγεται μεταλαμβανόμενον λύειν δυστοκίαν, καὶ ὡς ἐπὶ τοῖς ὠσὶ τοῖς πῦον[1] ῥέουσιν ἐπισταζόμενον[2] ὀνίνησιν.

Περὶ φασούλων.

Οἱ φάσουλοι θερμοί εἰσι καὶ ὑγροὶ κατὰ τὴν πρώτην ἀπόστασιν. οἱ δὲ ἐρυθρότεροι τούτων καὶ θερμότεροι. καὶ δήλη[3] ἡ ἐν τούτοις ὑγρότης διὰ τοῦ εὐσήπτου αὐτῶν. χυμὸν δὲ ἀπογεννῶσι παχὺν καὶ φλεγματικόν. μέσοι δέ εἰσιν, ὥς φησι Γαληνός, τῶν εὐπέπτων καὶ δυσπέπτων[4], βραδυπόρων καὶ ταχυπόρων, ἀφύσων καὶ φυσωδῶν, ὀλιγοτρόφων καὶ[5] πολυτρόφων. πρὸ δὲ τῆς ἄλλης τροφῆς σὺν[6] γάρῳ λαμβανόμενοι προτρέπουσι τὴν γαστέρα, μετὰ δὲ νάπυος προσφερόμενοι τὸ πλεῖστον τῆς βλάβης ἀποτίθενται. οἱ μέντοι λευκοὶ φάσουλοι παχυμερέστεροι καὶ δυσπεπτότεροι καὶ ὑγρότεροι τῶν ἐρυθρῶν. ἰδιότητι δέ τινι ταραχώδεις ὀνείρους ἐμποιοῦσι καὶ πρὸς εὐεξίαν σώματος λυσιτελοῦσι καὶ οὖρα προτρέπουσι. τὸ δὲ τούτων ἀπόζεμα πάνυ προτρέπει τὰ καταμήνια.

Περὶ φασιανῶν.

Οἱ φασιανοὶ εὔπεπτοί εἰσι καὶ εὔχυμοι καὶ χρηστοῦ[7] αἵματος γεννητικοί. καὶ ἁπλῶς εἰπεῖν, ὁμοία κατά τε πέψιν καὶ τροφὴν ἡ τούτων σὰρξ ὑπάρχει τῶν[8] ἀλεκτορίδων. αὗται[9] γὰρ παραπλήσιαι ταύταις πεφύκασιν.

1) πτύελον B 2) ἐνσταζ. I 3) δῆλον I 4) ἀπέπτων C 5) κ. π. om M 6) μετὰ σύρεος I μ. σύρεως F 7) om K 8) τῇ τῶν K 9) αὗται κτλ. om B K

Περὶ φάγρων.

Οἱ φάγροι δύσπεπτοί εἰσι καὶ φλέγματος γεννητικοί. δυσκατεργαστότεροι δὲ τούτων οἱ μείζονες. διὸ προσφέρεσθαι[1] δεῖ τοὺς δὲ ἥττονας τὴν ἡλικίαν καὶ τὸ μέγεθος· τῶν γὰρ μειζόνων εἰσὶν εὐπεπτότεροι.

Περὶ φιλομήλης.

Ἡ φιλομήλη[2] τῶν[3] σκληροσάρκων ἐστὶν ἰχθύων. διὸ καὶ δύσπεπτος καὶ δυσκατέργαστος καὶ περιττωματικὴν ἔχει τὴν σάρκα[4]. πεφθεῖσα δὲ τρέφει ἱκανῶς. ξένην δὲ ἰδιότητα ἔχειν τὸν ἰχθύν τοῦτον ὁ Πρόκλος[5] τὴν Χαλδαϊκὴν φιλοσοφίαν ἐξηγούμενος αἰνιγματωδῶς φησιν· εἰ δὲ ἀληθῶς, οὐκ οἶδα, καὶ διὰ[6] τοῦτο παρεῖται.

Φουκᾶς[7].

Ὁ λεγόμενος φουκᾶς[8] ἁπλῶς μὲν κατασκευαζόμενος ψυχρός ἐστι καὶ ὑγρός, σὺν[9] δὲ ἀρτύμασι θερμὸς γίνεται καὶ ξηρός. καὶ οἱ μὲν ἀρχαῖοι[10] σχεδὸν πάντες κακόχυμον τοῦτον δοξάζουσι καὶ νεύρων βλαπτικὸν καὶ[11] πνευμάτων καὶ[12] φυσῶν γεννητικὸν καὶ κεφαλαλγικὸν καὶ πρὸς τὴν ἱερὰν νόσον ὠφέλιμον, πρὸς δὲ καὶ[13] τῆς ἀπὸ τοῦ οἴνου κραιπάλης[14] καταπαυστικὸν καὶ τῆς τοῦ αἵματος δριμύτητος. καὶ

1) τοὺς ἥτ. τῷ μεγέθει τῆς ἡλικίας I C H δεῖ τούς γε ἧττον κατὰ μέγεθος καὶ τὴν ἡλ. B M 2) φιλομίλα C φιλομήλα B 3) ἐκ τ. σκ. ἰχθ. ἐστὶ κ. δυσπέπτων καὶ δυσκατεργάστων I 4) δύναμιν C 5) Πάτροκλος B M 6) διὰ τὸ σύσπιστον B δύσπιστον M 7) περὶ τοῦ λεγομένου φωκοῦ B φοῦκας K φωκός M περὶ τοῦ λεγομένου φωκὰς C φοῦκας sed corr φουκᾶς H 8) φωκὰς C 9) σύνθετος δὲ θερμὸς καὶ ξηρος I 10) χαῖοι B 11) κ. πν. κ. φ. γεν. om H 12) κ. φ. om I C 13) καὶ τοὺςἀπὸ τ. οἴνου κρεπαλῶσι καὶ αἵμ. δριμ. καταπαυσ. C 14) κρεπάλης B

ὡς δεῖ τούτου[1] ἀπέχεσθαι διὰ τὸ εὔσηπτον εἶναι τὸν ἐξ αὐτοῦ γεννώμενον χυμὸν καὶ ἣν ἐμποιεῖ βλάβην τοῖς[2] νεύροις. φασὶ γὰρ ὡς καὶ τὰ ἐλεφάντινα ὀστᾶ πρὸς καιρὸν τούτῳ ἐμμείναντα μαλάσσεται δίκην κηροῦ. τινὲς δὲ τῶν νεωτέρων τοὺς τῶν ἀρχαίων λόγους παραιτησάμενοι[3] ὠφέλιμον[4] τοῦτον ἐν πολλοῖς ἀπεφήναντο, καὶ ὑγείας περιποιητικόν. τὸ δὲ ἀληθές, ὠφελεῖ μὲν τοὺς θερμοτέρας ἔχοντας τὰς[5] κράσεις καὶ μάλιστα τὴν[6] κοιλίαν, καὶ τοὺς δι᾽[7] ὑπερβολὴν θερμότητος τῇ δίψῃ ἐκκαιομένους, καὶ μάλιστα[8] ὅτε ἁπλοῦς[9] εἴη. καταπαύει γὰρ τὴν δίψαν καὶ ὄρεξιν τῆς[10] τροφῆς ἐπεγείρει, καὶ τὴν γαστέρα προτρέπει, πολλάκις[11] δὲ καὶ τὰ οὖρα. ἐπὶ δὲ τῶν ὑγροστομάχων καὶ τῶν ψυχρὰς ἐχόντων τὰς κράσεις πάνυ βλαπτικόν[12].

Ἀρχὴ τοῦ χ.

Περὶ τοῦ χοιρείου κρέατος[13].

Τὸ χοίρειον κρέας εὔχυμόν ἐστι καὶ εὔπεπτον, ὅτε[14] ἐνιαύσιον ᾖ, διὰ τὴν πρὸς τὸ ἀνθρώπινον σῶμα ὁμοιότητα. διὰ γὰρ ἀνάγκην λοιμοῦ τινες ἀνθρωπίνων σαρκῶν ἀπογευσάμενοι διηγήσαντο, ὡς παρόμοιον[15] ταύταις κατὰ[16] τὴν γεῦσιν τὸ χοίρειον κρέας. ἔστι δὲ πάντων τῶν ἐδεσμάτων τροφιμώτερον. ἐπαποροῦσι[17] δέ τινες πῶς[18] τοῦτο συμμετρό-

1) τὴν τούτου χρῆσιν I 2) περὶ τὰ νεῦρα I 3) παρατηρησάμενοι K 4) ὠφ. τ. ἐ. π. ἀπ. om M 5) τὴν κράσιν I 6) τὰς κοιλίας B K 7) καθ᾽ ὑ. θερμοὺς καὶ δίψῃ ἐκ I H 8) μᾶλλον H 9) διπλοῦς H 10) τῆς γαστρὸς διεγείρει B M τῆς τροφῆς om H 11) ἔστιν ὅτε καὶ οὖρα I H 12) βλαβερόν B M βλαπικός H 13) χοῖρος I H K 14) δηλονότι τὸ ἐν. I F ὅταν C 15) addit ἐστὶ K ὡς τὸ παρ. εἶναι κατὰ τὴν τοῦ χοιρ. κρέατος γεῦσιν I F 16) κατὰ τ. γ. om C 17) ἀποροῦσι K 18) π. τὸ τοιοῦτον τροφιμώτερ[ον] καὶ συμ. etc. corr I

τερον τῶν λοιπῶν κρεῶν λέγομεν, ὁρῶντες[1] τὸ ζῷον ἰλύι καὶ κόπρῳ τρεφόμενον. καὶ ταύτην τινὲς τὴν ἀπορίαν ἀπελύσαντο[2] λέγοντες ὡς εἰ μὴ πάνυ εὔκρατον ἦν[3] τὸ χοίρειον κρέας, οὐκ ἂν τὰς μοχθηρὰς τροφὰς πρὸς[4] τὴν χρηστὴν σάρκα μετέβαλλεν[5]. ὥσπερ γὰρ ἐπὶ[6] τῶν ἀνθρώπων οἱ τὸ σῶμα εὔκρατον ἔχοντες οὐ βλάπτονται κατὰ πολὺ ὑπὸ τῶν κακοχύμων τροφῶν[7], μεταβαλλούσης ταύτας[8] τῆς φύσεως εἰς εὐχυμίαν, οὕτω καὶ ἐπὶ τῶν χοίρων[9]. αἱ γοῦν ὑγραὶ κοιλίαι οὐ καλῶς τὸ χοίρειον πέττουσι κρέας, ἀλλ' ἐμφράξεις ἐπὶ τῶν τοιούτων[10] καὶ περιττωματικὴν ὑγρότητα καὶ γλίσχρον χυμὸν ἀπογεννῶσιν[11] εὐθύς. εἰ δέ γε καλῶς πεφθείη[12], χρηστὴν καὶ εὔχυμον ἐμποιεῖ τροφήν, καὶ μάλιστα εἰ δι' ἰσχάδων τρέφεται ὁ χοῖρος. πάνυ γάρ, ὥς φασιν, ἡδύτατος καὶ εὔχυμος γίνεται. ὁ[13] δὲ τούτων πνεύμων ἐπιπλασσόμενος τοῖς διὰ θλῖψιν[14] τοῦ ὑποδήματος ἐπιγενομένοις ἕλκεσι τοῖς ποσὶ πάνυ ὀνίνησι. τὸ δὲ τούτου[15] ἧπαρ σὺν οἴνῳ μεταλαμβανόμενον πρὸς τὰ τῶν ἰοβόλων δήγματα λυσιτελεῖ. ὁ δὲ τούτου ἀστράγαλος καυθεὶς[16] διαφορητικός ἐστι τῶν ἐν τῇ γαστρὶ πνευματώσεων[17] καὶ λύει τὴν κεφαλαλγίαν[18]. οἱ δὲ τούτου πόδες χρηστή[19] ἐστι τροφὴ καὶ

1) ὁρῶσι γὰρ τοῦτο ἐσαεὶ τῇ κόπρῳ καὶ τῇ ἰλύει τρ. corr I F 2) ἐπελ. K διαλύσαντες I F 3) εἴη I F 4) εἰς I F 5) μετεβάλλετο I 6) om K H ὡς γὰρ τὰ ἀνθρώπινα σώματα ἐὰν τύχωσιν εὔκρατα, οὐ βλ. I ὥσπερ οἱ τὸ σῶμα C 7) addit: κἂν καὶ μετὰ χρόνον ταῦτα πανθάνωσι I 8) om B M 9) ζῴων I 10) ἐργάζεσθαι add C 11) ἀπογεννᾷ K B H omisso εὐθύς. 12) πεφθῇ B C M 13) ὁ δὲ — δηγμ. λυσιτελεῖ om C 14) θλ. ὑπὸ δήγματος B 15) τούτων B K 16) addit καὶ λεανθεὶς K κ. λε. καὶ ποθεὶς B 17) ἐμπνευμ. B C M 18) κοιλιαλγίαν M H 19) χρηστοί τε κ. εὔχυμοι πεφύκασιν εἶναι· εὔπεπτοι γάρ, καὶ διὰ τοῦτο ὠφέλιμοι τοῖς ἀνα. ἐκ νόσου I

εὔχυμος καὶ εὔπεπτος καὶ ὠφέλιμος τοῖς ἐκ νόσου ἀνακομιζομένοις. ἡ[1] δὲ τούτου[2] χολὴ[3] ἐπιτιθεμένη μετὰ τὸ ξηρανθῆναι αἱμόρρουσιν[4] ἴαται. καὶ τὸ στέαρ[5] αὐτοῦ σὺν κυμίνῳ τετριμμένον καὶ ὕδατι πεφυραμένον τοῖς ποδαγρικοῖς[6] ἐπιτιθέμενον ὀνίσησι. λέγεται δὲ ὡς τὸ ὀστοῦν αὐτοῦ τοῖς ὑπὸ τεταρταίου[7] ὀχλουμένοις[8] ἐπαρτώμενον ῥαΐζει τὴν νόσον. οἱ δὲ δέλφακες, καὶ[9] λακτεντόπουλα ὀνομαζόμενα, ὑγροί εἰσι καὶ περιττωματικοί, καὶ οὐχ οὕτως εὔχυμοι, διὸ οὐδὲ καταχρῆσθαι[10] τούτοις δεῖ, ὥσπερ οὐδὲ τοῖς παλαιοῖς τῶν[11] χοίρων. τῶν δὲ ἀγρίων χοίρων ἡ σὰρξ καὶ αὐτὴ εὔχυμος[12], ὑπερέχει δὲ τῆς τῶν ἡμέρων τῷ μὴ περιττωματικὴν εἶναι μηδὲ γλίσχρον χυμὸν ἀπογεννᾶν[13]. τὰ δὲ λεγόμενα τούτων σκουτάρια[14] πάντῃ[15] δύσπεπτα καὶ δυσκατέργαστα καὶ διὰ τοῦτο τούτων ἀπέχεσθαι χρή.

Περὶ χηνῶν.

Ἡ τῶν χηνῶν σὰρξ περιττωματική ἐστι καὶ δύσπεπτος καὶ πάσης[16] τῆς τῶν κατοικιδίων ὀρνέων[17] παχυμερεστέρα καὶ[18] θερμοτέρα καὶ ὑγροτέρα, ὡς καὶ ἐν τῇ αὐτῇ τάξει τεθεῖναι παρὰ τῶν παλαιῶν τῇ τῶν στρουθοκαμήλων σαρκί. τά[19] γε μὴν πτερὰ

1) ἡ δὲ — ῥαίζει τ. νόσον om C 2) τούτων K 3) χολὴ ξηρανθεῖσα αἱμ. ἴαται I 4) αἱμορραγίαν I αἱμορροΐσιν K 5) στ. σὺν κυμ. καὶ ὕδατι φυραθὲν τοῖς ποδ. ὠφελεῖ I 6) ποδαλγικοῖς B M 7) τετάρτου I H 8) ὀχευουμένοις H K 9) ἃ τινα ὀνομάζουσι λακ. I F om B M οἱ καὶ λάκτεντα ὀ. C 10) καταχρᾶσθαι B C 11) τ. χ. om K 12) ὑπάρχει add B ἐστι add K 13) γεννᾶν I 14) σκοτάρια C 15) πάνυ I F πάντοτε K 16) πασῶν τῶν I τῆς om K 17) ὀρνίθων B M 18) κ. θ. om C 19) τὰ δέ γε πτ. ἐναντίως ἔχουσι πρὸς τὸ λοιπὸν, δηλονότι σῶμα. τὸ δὲ στέαρ κτλ. I F om C

οὐ χείρω τῶν ἄλλων ἔχει. τὸ δὲ τούτων στέαρ τοῖς ἀλγοῦσιν[1] ὠσὶν ἐπισταζόμενον παραμυθεῖται τὰς ὀδύνας, ὡσαύτως λυσιτελεῖ ἐπαλειφόμενον τοῖς διηρημένοις[2] χείλεσι. λέγεται δὲ ὡς οἱ τούτων ὄρχεις ἐσθιόμενοι κατὰ[3] πολὺ συνεργοῦσι πρὸς παιδοποιίαν. ἡ[4] δὲ γλῶσσα ἰδιότητί τινι πρὸς στραγγουρίας λυσιτελεῖ.

Περὶ χρυσολαχάνου[5].

Τὰ[6] χρυσολάχανα ψυχρά ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν, ὑγρὰ δὲ κατὰ τὴν δευτέραν. ἔστι δὲ καὶ γαστρός προτρεπτικά, λυσιτελεῖ δὲ πρὸς τοὺς διὰ θερμότητος[7] τοῦ ἥπατος ἰκτέρους καὶ ὠφελεῖ τοὺς θερμὰς ἔχοντας κράσεις καὶ τοὺς ξανθηχολικούς. σὺν δὲ μαλάχῃ ταῖς[8] φλεγμοναῖς καταπλασσόμενα καταπαύει ταύτας.

Περὶ χιόνος[9].

Ἡ χιὼν τοὺς μὲν τῇ[10] ἡλικίᾳ προβεβηκότας εὐθὺς βλάπτει μεταλαμβανομένη[11], τοὺς δὲ νέους οὐκ εὐθύς, ἀλλὰ προήκοντος[12] τοῦ χρόνου κατὰ τὸν τῆς παρακμῆς[13] καιρόν μεγίστην[14] ἐμφαίνει τὴν βλάβην.

1) ὠταλγοῦσιν I F 2) διερρηγμένοις B εἰρημένοις F 3) κ. π. om I 4) τάγε μὴν πτερὰ οὐ χείρω τῶν ἄλλων ζώων ἐστιν C 5) χρυσολαχάνων C 6) τὸ χρ. I F 7) θερμότητα ἥπατος ἰκτ. καὶ τοὺς θερμὴν ἔχ. τὴν κρᾶσιν κ. τοὺς ξανθοχ. μάλιστα ἐπιτηδειότατον I 8) καὶ ταῖς φλ. ἐπιτιθέμενον κατ. αὐτάς I αὐτάς C 9) C et F sic: τῆς χιόνος τὸ ὕδωρ καὶ τοῦ πάγου πάνυ ἐστὶ βλαβερά. διὸ καὶ οἱ τούτοις χρώμενοι εἰς νόσους ἐμπίπτουσι δυσιάτους καὶ ἀνιάτους. ἀρθρητικὰ γὰρ ταῦτα ἀπογεννῶσι νοσήματα καὶ νεύρων ἀλγήματα καὶ σπλάγχνων, καὶ ἄλλα κακὰ τοῖς μὴ ὦσι μάλιστα τὴν κρᾶσιν θερμοῖς. 10) om H 11) om H K 12) προϊόντος I F 13) δηλονότι add I F 14) μ. ἐμ. τ. β. om B μ. ἐνδείκνυται τὴν ζημίαν I F

ἥ τε γὰρ πέψις οὐ κατὰ λόγον αὐτοῖς γίνεται. καί τισι γίνονται[1] ἀρθρίτιδες καὶ νεύρων ἀλγήματα καὶ σπλάγχνων, καὶ ψυχρὰ νοσήματα[2], καὶ μάλιστα ὅσοις ἡ κρᾶσις οὐκ ἄγαν ἐστὶ θερμή. ἅπτεται δὲ μᾶλλον ἡ τῆς χιόνος βλάβη τοῦ φύσει ἀσθενεστέρου μορίου. ἧττον[3] δὲ τῆς χιόνος βλάβη[4] τὸ ἀπ'[5] αὐτῆς θερμὸν[6] ὕδωρ[7]. ἐπαποροῦσι δέ τινες πῶς δίψαν[8] ποιεῖ ἡ χιών, ψυχρὰ οὖσα καὶ ἐπιλύεται[9], ὡς διὰ τὸ[10] πυκνοῦν τῇ[11] ψύξει τοὺς ἔνδον ἀδήλους πόρους κωλύονται οἱ ἀτμοὶ διαφορεῖσθαι καὶ κλειόμενοι θερμαίνονται καὶ δίψαν ποιοῦσι. πολλοὶ γοῦν διὰ τῆς συνεχοῦς χρήσεως[12] χρονίοις πεπτώκασι πάθεσι καὶ καχεξίαις καὶ ἐπιληψίαις[13]. οὐ μόνον δὲ αὐτὴ βλαπτική[14], ἀλλὰ καὶ ὁ[15] πάγος χείρων ἐστίν, ὅθεν καὶ γεωδέστερος.

Ἀρχὴ τοῦ ψ.

Περὶ ψησίου.

Τὸ ψησίον τῶν εὐχύμων ἐστὶ καὶ εὐπέπτων ἰχθύων, καὶ διὰ τοῦτο προτρέπουσι τὴν αὐτοῦ[16] χρῆσιν ἐπί τε τῶν ἀνακομιζομένων καὶ τῶν[17] μὴ ἁδρᾶς τροφῆς δεομένων.

1) om B ἀρθρίτιδας γὰρ καὶ ν. ἀλγ. ὡς οὐδὲν ἕτερον ἐμποιεῖ καὶ σπλάγχνων βλάβην κ. ψ. νοσ. ἐπιτίκτει κ. μαλ. τοῖς μὲν τούτων ἡ κρᾶσ. ἄγαν θερμή I F corr H 2) ἐπιγίνεται B 3) ἧττων corr I 4) βλάπτει B 5) ἐπ' αὐτῇ B M 6) ψυχθὲν B M 7) om K 8) δίψαν καὶ αὐτὴ ποιεῖ ψυχρὰ οὖσα I F 9) ἐπ. οὕτως K λέγομεν ὅτι corr I F 10) πιλεῖν καὶ π. B M 11) τῇ ἄγαν ψ. I F 12) αὐτῆς add B 13) ἐπιλήψεσιν B 14) βλάπτει I F 15) τὸ ἐξ αὐτῆς ἀναλυόμενον ὕδωρ, τὸ δὲ πάχος χείρονα τὴν βλάβην ὑπὲρ τὴν χιόνα ποιεῖ· ὅσον τε καὶ γεωδέστερον B M 16) τούτων B τὴν γαστέρα C 17) καὶ ἀμυδρᾶς τροφῆς F K

Ἀρχὴ τοῦ ω.

Περὶ ᾠῶν.

Τὰ ᾠὰ διαφέρει[1] ἀλλήλων[2]. τρεῖς[3] γὰρ ἔχει τὰς διαφοράς, μίαν[4] μὲν τὴν κατὰ τὴν οἰκείαν οὐσίαν[5], ἑτέραν[6] δὲ καθ' ἣν τὰ μὲν πλειόνός ἐστι καιροῦ τὰ δὲ νεώτερα, ἃ δὴ καὶ κρείττονα. (ἀρίστη[7] γὰρ ἡ τούτων ἐργασία ἐστί). καὶ[8] τρίτην, καθ' ἣν τὰ μὲν ῥοφητὰ τὰ δὲ μέχρι τοῦ μετρίως συστῆναι λέγεται τρομητά τὰ δὲ ἐπὶ πλεῖον ἑψηθέντα[9] λέγεται[10] ἑφθά, καὶ κοινῶς[11] αὐτοκόλλητα[12]. τὰ μὲν οὖν ῥοφητὰ ῥᾷον ὑποχωρεῖ καὶ τὰς ἐν τῇ φάρυγγι λεαίνει τραχύτητας, ἧττον δὲ τρέφει. τὰ δὲ ἑφθὰ δύσπεπτα καὶ βραδύπορα καὶ τροφὴν τραχεῖαν[13] ἐμποιεῖ τῷ σώματι. τούτων[14] δὲ ἔτι μᾶλλον κάκια τὰ ἐν θερμῇ σποδιᾷ ὑπεροπτηθέντα[15]. τὰ δὲ τηγανιστὰ[16] χειρίστην ἔχει τὴν τροφὴν καὶ[17] ἐν τῷ πέττεσθαι[18] κνισσοῦται, καὶ χυμὸν ἀπογεννᾷ πα-

1) τρεῖς — τὰ μὲν ῥοφητὰ om C 2) διαφέρουσι B I 3) ἀλλ. τρισὶ διαφοραῖς B M 4) μιᾷ B M 5) ἑτέρᾳ B 6) ἀμείνω γὰρ τὰ τῶν ἄλλων ἀλεκτορίδων καὶ φασανῶν, φαυλότερα δὲ τὰ χήνεια add B om M post ἀλλήλων habet usque ad φασ. pergit καὶ περδίκων· φαυλοτ. δὲ τὰ χηνῶν. κάλλιστα μὲν οὖν εἰς τροφὴν τὰ μὴ τρομιτὰ τὰ δὲ ῥοφητὰ ἧττον μὲν τρέφει ῥᾷον ὑποχωρεῖ C 7) καὶ τρίτη κατὰ τὴν τούτων ἐργασία. τὰ μὲν γὰρ μόνον τεθέρμανται, ἃ καλοῦνται ῥοφητά, τὰ δὲ — συστῆναι, ἃ καλοῦνται τρομητά B M 8) καὶ τὰ μέν εἰσι ῥοφητά etc I 9) ἑψητὰ B M 10) λέγουσι I ἃ καὶ ὀνομάζεται B M 11) τούτων τὰ αὐγοκούλικα καὶ τὰ μὲν οὐ προφητὰ ῥᾷον ὑποχωροῦσι I κοινῶς δὲ ἐκζεστὰ ἢ μαστίχατα, ἀπὸ τοῦ πήγνυσθαι λαβόντα τόδε. κάλλιστα μὲν οὖν εἰς τροφὴν τὰ τρομητά. τὰ δὲ ῥοφητὰ ἧττον μὲν τρέφει ῥᾷον δὲ ὑποχωρεῖ καὶ . . . . . . ἐκλεαίνει B M 12) αὐτοκύληκα corr H 13) παχεῖαν B M ταχ. C 14) τ. δὲ μᾶλλον τὰ ἐν B M τούτων — ὑπεροπ. om C 15) ὀπτηθέντα B M 16) τηγανιτὰ B H 17) καὶ — μοχθ.] καὶ ἀπέχεσθαι τούτων δεῖ C. 18) πέπτεσθαι K

χὺν[1] καὶ περιττωματικόν τε καὶ μοχθηρόν. ἐπαινοῦνται[2] δὲ τὰ[3] πνικτά, ὥσπερ γε τὰ ὀνομαζόμενα ἐξεφθὰ[4] τὰ[5] ἐπὶ θερμοῦ ὕδατος σκευαζόμενα[6]. τὰ δὲ τῶν χηνῶν κακόχυμά[7] ἐστι. λέγεται δὲ ὡς ἰδιότητί τινι εὐφυίαν περιποιεῖ[8] τοῖς μετὰ νάματος θυγατέρων ταύρων καὶ βουτύρου συνεχῶς ἐδωδοῦσι. σὺν[9] ὄξει δὲ ἑψηθέντα ᾠὰ ξηραίνει τὰ κατὰ τὴν γαστέρα δηλαδὴ[10] ῥεύματα.

Περὶ ὠοταρίχων[11].

Τὰ ὠοτάριχα δύσπεπτά ἐστι καὶ κακόχυμα καὶ βραδύπορα, καὶ διὰ τοῦτο δεῖ τῆς τούτων χρήσεως ἀπέχεσθαι παντάπασιν[12].

Περὶ ὠτίδων.

Ἡ τῶν ὠτίδων σὰρξ μεταξύ[13] ἐστι τῆς τῶν χηνῶν καὶ τῶν γεράνων, καὶ τὰ περὶ ταύτης ἐκ τῶν[14] περὶ ἐκείνων[15] λόγων διαγνωσθήσεται[16].

Τέλος.

1) π. κ. μοχθ. κ. περιτ. B. 2) ἐπαινεῖται K 3) τὰ λεγόμενα πν. τὰ ἐπὶ θερμ. ὑδ., τὰ λεγόμενα ἐξαφυτά B M ἐπαιν. δὲ τὰ ἐξαφυτά C 4) ἐξεφετὰ I 5) τὰ ἐπὶ — ἐδωδοῦσι om C 6) σκευάζομεν I 7) κακοστόμαχα B M 8) περιποιεῖται τοῖς σὺν μέλιτι καὶ βουτύρῳ συνεχέστερον χρωμένοις, ὄξει δὲ διεφθηθέντα etc B M 9) σὺν et ᾠὰ om C 10) om B M C 11) om K ὠοτάριχα I C 2 12) om I C 2 13) μ. πῶς τῶν H K 14) τοῦ π. ἐ. λόγου B 15) ἐκείνων ὡς καὶδιεγνώσθη καὶ εὑρέθην εἶπον H K 16) γνωσθήσεται.I διαγνώσκεται C

Fragmentum

ex Sched. MSS. in Bibl. Aug. Vindel.

Περὶ τῶν καλουμένων μυξαρίων.

Εἰσὶν ὑπακτικὰ μάλιστα τὰ λεγόμονα μυξάρια. ταῦτα φύονται δὲ ἐν Αἰγύπτῳ καὶ ἐν τῷ κυβέρῳ (sic) *τόπῳ. ἔστιν οὖν τὸ εἶδος αὐτῶν κρομίου παραπλήσιον. ἑψώμενα δὲ κρομμύου δίκην καὶ ἐσθιόμενα ῥᾷστα ἀπάγουσι τὴν γαστέρα. καλοῦνται δὲ μυξάρια διότι χαραττόμενα ἔνδον τὴν κατεσπαρμένην ὑγρότητα παραπλησίως μύξης κέκτηνται. ἀκινδυνότερα δὲ καὶ χρησιμότερα. παρά τε τῆς ἀκαλύφης πόας λεγομένης καὶ τοῦ λινοζόστου τὴν γαστέρα ἀπάγουσιν.*

Appendix.

Ἄλλα τινά.

Περὶ ὀρύζης.

Τούτῳ τῷ σπέρματι πάντες εἰς ἐπίσχεσιν γαστρὸς χρῶνται, τὴν ἕψησιν αὐτοῦ παραπλησίαν ποιούμενοι χόνδρῳ. δυσπεπτότερον δὲ ἐστὶ χόνδρου καὶ τρέφον ἧττον ὥσπερ γε καὶ εἰς ἡδονὴν ἐδωδῆς ἀπολειπόμενον αὐτοῦ πάμπολυ.

Περὶ χόνδρου.

Τοῦ γένους τῶν πυρῶν ἐστιν ὁ χόνδρος, ἱκανῶς τρόφιμον καὶ γλίσχρον ἔχων χυμόν, ἐάν τε ἐν ὕδατι μόνον ἑψηθεὶς λαμβάνηται δι' οἰνομέλιτος ἢ οἴνου γλυκέος ἢ στύφοντος, ἴδιος γὰρ ἑκάστου καιρὸς τῆς χρήσεως, ἐάν τε τορυνηθεὶς μετ' ἐλαίου καὶ ἁλῶν. ἐμβάλλεται δέ ποτε καὶ ὄξους αὐτῷ. καὶ καλοῦσιν οἱ ἰατροὶ . . . . τοῦ παρασκευασθέντος χόνδρου πτισάνης γεγονέναι τὴν ἄρτυσιν. ἔνιοι δὲ ἐκ χόνδρου πτισάνης τεθράφθαι φασὶ τὸν κάμνοντα. ἔνιοι δὲ τῶν παλαιῶν, καθάπερ Διοκλῆς καὶ Φιλότιμος, ὀνομάζουσιν πτισάνην πυρίνην τὸν οὕτω σκευαζόμενον χόνδρον. εἴρηται δὲ ὅτι καὶ ἡ σεμίδαλις καὶ χόνδρος ἑφθὸς ἰσχυρὰ καὶ τρόφιμα. φυλάττεσθαι τοιγαροῦν προσήκει καὶ τούτου τὴν πολλὴν χρῆσιν, ἐφ' ὧν εὐέμφρακτόν ἐστι τὸ ἧπαρ ἢ καὶ νεφροὶ πρὸς τὸ γεννῆσαι λίθους ἐπιτήδειοι, μάλιστα δὲ προσέχειν τὸν νοῦν τοῖς σκευαζομένοις πολτήμασιν ἐκ τοῦ καλουμένου πλυτοῦ χόνδρου. χυλὸς μὲν γὰρ οὗτος ἐστὶ μεμιγμένος ὕδατι. πλείστης δ' ἑψήσεως δεόμενος ἐξαπατᾷ μὲν τοὺς σκευάζοντας ὡς αὐτάρκως ἑψημένος, οὐ μικρὸν δὲ βλάπτει τοὺς νοσοῦντας. ἐν τάχει γὰρ συνίσταται καὶ παχύνεται διὰ τὸ κολλῶδες εἶναι· χρὴ τοίνυν ὕδατι παμπόλλῳ μιγνύντας ἐπ' ἀνθράκων ἕψειν ἐπὶ πλεῖστον, ἀνίθῳ κινοῦντας, ἄχρις ἂν ἀκριβῶς ἑψηθῇ, τηνικαῦτα δὲ ἐμβάλλειν ἤδη καὶ τῶν ἁλῶν. τὸ δὲ ἔλαιον εἰ καὶ κατ' ἀρχὰς εὐθέως μίξεις, οὐδὲν βλάψεις. τοῖς δ' ὑγιαίνουσιν, ὅταν ποτὲ διὰ δῆξιν σφοδρὰν γαστρὸς ἢ χολωδῶν πολλῶν διέξοδον ἤ τι τοιοῦτον δεηθῶσιν ῥοφήματος, ἕψοντας ἄχρι πλείστου τὸν χόνδρον, ὥστε γενέσθαι τακερόν, εἶτα τορυνήσαντας, ὡς

ὁμοιωθῆναι πτισάνης χυλῷ διηθημένῳ, τηνικαῦτα διδόναι ῥοφεῖν. ἡ δὲ ἄρτυσις ἡ αὐτὴ τῷ πλυτῷ γίνεται χόνδρῳ.

Περὶ πυρῶν.

Πυρῶν μὲν ἑψομένων ἐν ὕδατι, ἐν λιμῷ τις ἐσθίων δαψιλῶς βάρος κατὰ τὴν γαστέρα ἐντίθησιν, ὡς δοκεῖν ἐγκεῖσθαι πηλὸν αὐτῇ. κατὰ τὴν ὑστεραίαν ἠπεπτηκότες ἀνόρεκτοι πολλάκις δι' ὅλης τῆς ἡμέρας εἰσίν, ὡς μηδὲν δύνασθαι προσενέγκασθαι, καὶ πνεύματος φυσώδους μεστοί, κεφαλαλγίαν τε ἔχουσι καὶ βλέπουσιν ἀχλυῶδες. οὐδὲ γὰρ ἀποχωρεῖ τι κάτω, ὡς εἶναι βαρὺ καὶ δύσπεπτον ἔδεσμα. δύναμιν μὴν ἔχουσι μεγάλην, εἰ πεφθεῖεν οἱ οὕτω βρωθέντες πυροί, καὶ τρέφουσιν ἰσχυρῶς τὸ σῶμα καὶ ῥώμην ἐπίσημον παρεχόμενοι τοῖς προσενεγκαμένοις αὐτούς.

Περὶ κριθῶν.

